# 2026. Κυριακές Πεντηκοσταρίου και εορτές, Θ. Λειτουργία (ο χορός)

**Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος: 23-4, 25-4, 2-5, 8-5, 21-5, 25-5. παίρνουν και το Ευαγγέλιο και τον Απόστολο: 24-6, 29-6, 30-6**
**κατά την περίοδο του Πεντηκοσταρίου έχουμε κατάλυση οίνου και ελαίου τις Τετάρτες και τις Παρασκευές. κατάλυση οίνου και ελαίου τις Τετάρτες και τις Παρασκευές και στις εξής εορτές όταν πέσουν Τετάρτη ή Παρασκευή: Απρίλιος: 23, 25, 30. Μάϊος: 2, 8, 15, 21, 25. Ιούνιος: 8, 11, 29, 30. Κατάλυση ιχθύος την Τετάρτη της ΜεσοΠεντηκοστης, και την Τετάρτη της αποδόσεως του Πάσχα. Την εβδομάδα της Διακαινησίμου κατάλυσις εις πάντα. Την εβδομάδα της Πεντηκοστής κατάλυσις εις πάντα.**

***π. Γ. Θ. https://www.youtube.com/user/KERMENI (βλέπε στις πληροφορίες: τα αρχεια μου -για δωρεάν κατέβασμα-, μπλογκ, φέισμπουκ)***

***Θεία Λειτουργία (ο Χορός).* Ι.*** *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς…*/ Ἀμήν./ Κύριε ἐλέησον **(12ἢ13).** /Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε./Αμήν. ***<u>στίχος α΄. …</u>***Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς**(3).**/.Κύριε, ελέησον **(2). /**Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοι, Κύριε./ Ἀμήν. ***Στίχ. α'.*** …<u>Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν (ἢ ὁ ἐν Ἁγίοις θαυμαστός, </u>ή…), ψάλλοντάς σοι˙ Ἀλληλούϊα **(3)**. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Ὁ Μονογενὴς Υἱὸς** καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶ**ς**./ Κύριε ἐλέησον **(2). /** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε. / Ἀμήν. ***<u>Στίχ. α΄. …</u>Ἀπολυτίκιον* / *(ἐὰν εἶναι ἕνας ἱερεύς:) ὁ α΄χορός:*** **<u>Δεῦτε προσκυνήσωμεν</u>**

***…ΑΠΟΛΥΤΙΚΙΑ.****(ἕνας πρακτικός τρόπος νά γνωρίζουμε πότε δέν τελοῦνται μνημόσυνα εἶναι ὅταν δέν προβλέπεται νά ψαλεῖ στή λειτουργία τό ἀπολυτίκιο τοῦ ναοῦ. Αὐτές οἱ ἡμέρες εἶναι οἱ Δεσποτικές καί Θεομητορικές ἑορτές.)*

***[25-7, 9-12, Ἦχος δ', Ταχὺ προκατάλαβε,*** *Ζωὴν τὴν κυήσασαν, ἐκυοφόρησας, ἁγνὴν Θεομήτορα, θεόφρον Ἄννα· διὸ πρὸς λῆξιν οὐράνιον, ἔνθα εὐφραινομένων, κατοικία ἐν δόξῃ, χαίρουσα νῦν μετέστης, τοῖς τιμῶσί σε πόθῳ, πταισμάτων αἰτουμένη, ἱλασμὸν ἀειμακάριστε.****ΗΧΟΣ Γ΄. ΘΕΙΑΣ ΠΙΣΤΕΩΣ.*** *Γόνος γέγονας Γάνου καὶ Χώρας, μέγα καύχημα νήσου Καλύμνου, παμμακάριστε Σάββα, πατήρ ἡμῶν· καὶ γὰρ ὁδόν διελθών τῆς ἀσκήσεως, τοῦ ἀκροτάτου τέλους ἐπέτυχες. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν].*

……………………………………………………..

***ΚΟΝΤΑΚΙΟΝ****/* Κύριε ἐλέησον./Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.***(τρίς).*** Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς./(*νε*) Δύναμις. (***αργά***)Ἅγιος ὁ Θεὸς - Ἅγιος ἰσχυρός - Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. **/ΑΠΟΣΤΟΛΟΣ/**

Ἀλληλούια. Ἀλληλούια. Ἀλληλούια. / Καὶ τῷ πνεύματί σου. / Δόξα σοι, Κύριε, δόξα σοι. / ***ΕΥΑΓΓΕΛΙΟΝ/*** Δόξα σοι, Κύριε, δόξα σοι.

**……………………………………………………**

[***Πότε λέμε*** "Εις πολλά έτη Δέσποτα" ***στην Θεία Λειτουργία: μετά την ανάγνωση του Ευαγγελίου σύντομα και μετά το τέλος του χερουβικου ύμνου, όταν ευλογει με το σταυρό.*** **ΕΝ ΑΡΧΙΕΡΑΤΙΚΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ.** Τρισάγιον. **Πρωτοψάλτης**: Άγιος ο Θεός…***Λαμπαδάριος***: Άγιος ο Θεός…***Ιερό Βημα****:* Άγιος ο Θεός…***Πρωτοψάλτης***: Άγιος ο Θεός …***Ιερό Βημα****:* Άγιος ο Θεός …***(σύνολο πέντε). Λαμπαδάριος***: Δόξα Πατρί…***Πρωτοψάλτης***: Και νυν…***Λαμπαδάριος:*** Άγιος Αθάνατος… ***Ιερό Βημα****:* Άγιος ο Θεός. ***(άρχεται το δύναμις του βήματος). Αρχιερεύς***: Κύριε, Κύριε επίβλεψον…..κτλ.. ***Πρωτοψάλτης***: εις πολλά έτη Δέσποτα Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα:*** Άγιος Ισχυρός. ***Αρχιερεύς*** :Κύριε, Κύριε… ***Λαμπαδάριος***: εις πολλά έτη…Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα***: Άγιος Αθάνατος. ***Αρχιερεύς***: Επίβλεψον…***Πρωτοψάλτης***: εις πολλά έτη…Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα*** : ελέησον ημας. ***Διάκονος***:

ΔΥΝΑΜΙΣ…***Και οι χοροί ψάλλουν εναλλάξ το*** Δύναμις***. Ιερό Βημα****:* Κύριε, σωσον τους ευσεβεις **(*τρις*)** …***σε ηχο τρίτο και ανά μία οι χοροί. Ιερό Βημα***: και επάκουσον…..(***κλείνει***).
***Φήμη Αρχιερέως εκ τρίτου…(συνήθως προηγειται εμμελής απαγγελία υπό του διακόνου και επανάληψη από Ιερό Βήμα, πρωτοψάλτη και Λαμπαδάριο).*** [Βαρθολομαίου του Παναγιωτάτου και Οικουμενικου Πατριάρχου, πολλά τα έτη./ Παϊσίου του Σεβασμιωτάτου και Θεοπροβλήτου Μητροπολίτου της Αγιωτάτης Μητροπόλεως Λέρου, Καλύμνου και Αστυπαλαίας, Υπερτίμου και Εξάρχου των Σποράδων νήσων, ημων δε πατρός και ποιμενάρχου, πολλά τα έτη] ***Κλείνει ο κύκλος με το Αποστολικό ανάγνωσμα. Σημ: Μετά τη Ανάγνωση του Ευαγγελίου ψάλλονται το*** Δόξα σοι Κύριε ***…. Και εν συνεχεία το*** εις πολλά έτη….
*Ὅσοι είς Χριστὸν/ ἐβαπτίσθητε, /Χριστὸν ἐνεδύσασθε, /Ἀλληλούϊα.*
*Τὸν Σταυρόν Σου / προσκυνοῦμεν Δέσποτα,/ καὶ τὴν Ἁγίαν Σου Ἀνάστασιν /δοξάζομεν.]*

**……………………………………………………….**

[ Κύριε ἐλέησον **(γ΄) (**[8]**) (*τὴν τελευταίαν ἅπαξ)*** / Ἀμήν. / Κύριε ἐλέησον.**(**[7]**) /** Σοὶ, Κύριε. / Ἀμήν. / Κύριε ἐλέησον.**(**[2]**)/** Ἀμήν./Κύριε ἐλέησον **(**[2]**).]** Ἀμήν. Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν, - ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι. / Ἀμήν. Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα **(γ΄). /** Κύριε ἐλέησον**.(**[5]**) /** Παράσχου Κύριε**(**[6]**)./**Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς./Σοὶ, Κύριε./Ἀμήν./Καὶ τῷ πνεύματί σου./Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον **(*στὰ συλλείτουργα:*** Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου). / Πιστεύω είς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ είς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ

Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρα κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, Ἀγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν.Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν. **/** Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως./Καὶ μετὰ τοῦ πνεύματός σου. / Ἔχομεν πρὸς τὸν Κύριον. / Ἄξιον καὶ δίκαιον. / Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ (ὁ) ἐν τοῖς ὑψίστοις. / Ἀμήν. / Ἀμήν. / Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν. / Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. / Κύριε ἐλέησον./Καὶ πάντων καὶ πασῶν. / Ἀμήν. / Και μετά του πνεύματος σου. / [*Κύριε ἐλέησον* ***(5).*** *Παράσχου Κύριε* ***(6)]*** **ἢ Κύριε ἐλέησον(3)** / Σοί, Κύριε. / Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. /Ἀμήν. / Καὶ τῷ πνεύματί σου. / Σοί, Κύριε. / Ἀμήν. / Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. ***Κοινωνικόν:*** Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα**.** ***(ΜΝΗΜΟΣΥΝΟΝ***)/ Τοῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ ληστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου./ Εἴδομεν τὸ φῶς τὸ

ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν./ Ἀμήν. / Κύριε ἐλέησον **(2). /** Σοί, Κύριε. / Ἀμήν. / Κύριε ἐλέησον. / Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.***(τρίς*). / (*Μετά πνευμάτων δικαίων...*)** /Κύριε ἐλέησον. / Ἀμήν. / Δόξα Πατρί... Καὶ νῦν... Κύριε ἐλέησον ***(γ΄),*** Πάτερ ἅγιε, εὐλόγησον. / Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη. **[«Τον Δεσπότην και Αρχιερέα ημών, Κύριε φύλαττε, εις πολλά έτη Δέσποτα, εις πολλά έτη Δέσποτα, εις πολλά έτη Δέσποτα»]** / Ἀμήν.

**Ἀκολουθία τοῦ ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ (και Μνημόσυνο την Κυριακή)...*Ἀναγνώστης·*** Ἀμήν**. Τρισάγιον.** Δόξα... Καὶ νῦν... Παναγία Τριάς... Κύριε, ἐλέησο**ν *(γ΄).*** Δόξα... Καὶ νῦν... Πάτερ ἡμῶν***... /.*** Ὅτι Σοῦ ἐστιν**...]** ***Καὶ ψάλλουσι τὰ Τροπάρια ταῦτα. Ἦχος δ΄.*****(ΣΤΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ,** *ΕΙΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ***...)** Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου, Σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτὴν (αὐτὰς) εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοί, φιλάνθρωπε. Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὴν ψυχήν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος. Δόξα...Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς Ἅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου, Σῶτερ, ἀνάπαυσον. Καὶ νῦν... *Θεοτοκίον.* Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὴν ψυχὴν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου.

**……………………………………………………**

***στην Διακαινήσιμο εβδομάδα αντί των ανωτέρω:*** Χριστός ανέστη εκ νεκρων, θανάτω θάνατον πατήσας, και τοις εν τοις μνήμασι, ζωήν χαρισάμενος. ***(3)*** Αναστάς ο Ιησους από του τάφου καθώς προειπεν, έδωκεν ημιν την αιώνιον ζωήν και μέγα έλεος.

**……………………………………………………**

***Ἱερεύς (Δ)·*** <u>Ἐλέησον</u> ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον. ***Ἀναγνώστης·*** Κύριε, ἐλέησον.... <u>**(ΘΥΜΙΑΖΩΝ ΚΑΙ ΨΑΛΤΑ)** Αἰωνία ἡ μνήμη, Αἰωνία ἡ μνήμη, Αἰωνία αὐτοῦ, [αὐτῆς, αὐτῶν] ἡ μνήμη ***(γ΄)....***</u>

**ΑΡΤΟΚΛΑΣΙΑ. *Ι.*** Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός Σου· δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. **(Χ.:** ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ (***γ΄)*****.....*Ὁ Χορός·*** Ἀμήν**. *Ὁ Ἱερεύς·*+** Εἰρήνη πᾶσι. ***Ὁ Χορός·*** Καὶ τῷ πνεύματί σου**. *Ὁ Διάκονος·*** Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. ***Ὁ Χορός·*** Σοί, Κύριε. ***Ὁ Ἱερεύς·*** Δέσποτα, πολυέλεε… ***Ὁ Χορός·*** Ἀμήν. ***Ὁ Ἱερεὺς θυμιᾷ καὶ ὁ Χορὸς ψάλλει· Ἦχος πλ. α΄.*** Θεοτόκε Παρθένε, χαῖρε Κεχαριτωμένη Μαρία ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη Σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν***. Ἐν τῇ Διακαινησίμῳ ἑβδομάδι, ἀντὶ τοῦ*** <Θεοτόκε Παρθένε>, ***ψάλλεται τό·*** <Χριστὸς ἀνέστη>***. Ὁ Διάκονος·*** Τοῦ Κυρίου δεηθῶμεν. ***Ὁ Χορός·*** Κύριε, ἐλέησον. ***Ὁ Ἱερεύς(λαβὼν ἕναν ἄρτον καὶ εὐλογῶν αὐτόν)· +*** Κύριε, Ἰησοῦ Χριστέ,.... ***Ὁ Χορός·*** Ἀμήν**. *(ἀσπασμὸς ἄρτου) Ὁ Ἱερεύς· Ἦχος βαρύς.*** Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. ***Οἱ δὲ Χοροὶ ἐπαναλαμβάνουσι τὸ αὐτὸ δίς.] ΑΠΟΣΤΙΧΑ (Ή ΑΠΟΛΥΤΙΚΙΟΝ ΚΑΙ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ).***

****ό,τι ειναι <u>υπογραμμισμένο</u> αλλάζει ενδεχομένως από Λειτουργία σε Λειτουργία. χρειάζεται ακόμη μία σελίδα κάθε φορά - που θα έχει τον Απόστολο, τα τροπάρια, το Κοντάκιο κλπ.- και η οποία πρέπει να εκτυπώνεται μαζί με αυτήν την σελίδα, βλέπε εδω: https://www.youtube.com/user/KERMENI (βλέπε στις πληροφορίες), και εδω: https://apologhtika.blogspot.com/2023/10/4.html, έχοντας την παρουσα φωτοτυπία όλοι γίνονται πρακτικοί ψάλτες!!***

**ΠΑΝΝΥΧΊΣ**, ***ὁ Ἱερεὺς:*** *<u>Εὐλογητὸς</u> ὁ Θεὸς ἡμῶν,...**Χ.** Ἀμήν.* ***Ὁ προεστὼς:*** <u>Δόξα σοι ὁ Θεὸς ἡμῶν</u>, δόξα σοι. <u>Βασιλεῦ οὐράνιε,</u> Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρός τῶν ἀγαθῶν καὶ

ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθέ, τὰς ψυχὰς ἡμῶν. ***Ὁ Ἀναγνώστης·*** Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς ***(ἐκ τρίτου).*** Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον· Κύριε ἐλέησον· Κύριε ἐλέησον. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ***Ὁ Ἱερεύς·*** *Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία…* ***Ὁ ἀναγνώστης:*** Ἀμήν. Κύριε ἐλέησον ***ιβ'.*** Δόξα Πατρὶ… Καὶ νῦν… Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. ***ΨΑΛΜΟΣ Ν'.*** ΕΛΕΗΣΟΝ με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· 4 ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. 5 ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. 6 σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. 7 ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. 8 ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. 9 ραντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. 10 ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. 11 ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. 12 καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. 13 μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ

προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. 14 ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. 15 διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. 16 ρῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. 17 Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.18 ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.19 θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. 20 ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη ῾Ιερουσαλήμ· 21 τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

***ᾠδὴ α' ὁ α΄χορὸς Ἦχος πλ. β'  ὁ Εἱρμὸς***

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην τύραννον, ὑπὸ γῆς ἔκρυψαν, τῶν σεσωσμένων οἱ Παῖδες, ἀλλ' ἡμεῖς ὡς αἱ Νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν. Ἐνδόξως γάρ δεδόξασται.

***ὁ β΄χορὸς***, **Κ**ύματι θαλάσσης…

***ὁ α΄χορὸς**, **Στίχ.*** **Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

**Κ**ύριε Θεέ μου, ἐξόδιον ὕμνον, καὶ ἐπιτάφιον, ᾠδήν σοι ᾄσομαι, τῷ τῇ ταφῇ σου ζωῆς μοι, τὰς εἰσόδους διανοίξαντι, καὶ θανάτῳ θάνατον, καὶ ᾅδην θανατώσαντι.

***ὁ β΄χορὸς***, ***Στίχ.*** **Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Κ**ύριε Θεέ μου…

***ὁ α΄χορὸς***, **Δόξα Πατρί…Ἄ**νω σε ἐν θρόνῳ, καὶ κάτω ἐν τάφῳ, τὰ ὑπερκόσμια, καὶ ὑποχθόνια, κατανοοῦντα Σωτήρ μου, ἐδονεῖτο τῇ νεκρώσει σου, ὑπὲρ νοῦν ὡράθης γάρ, νεκρὸς ζωαρχικώτατος.

***ὁ β΄χορὸς***, **Καὶ νῦν…Ἵ**να σου τῆς δόξης, τὰ πάντα πληρώσῃς, καταπεφοίτηκας, ἐν κατωτάτοις τῆς γῆς, ἀπὸ γὰρ σοῦ οὐκ ἐκρύβη, ἡ ὑπόστασίς μου ἡ ἐν Ἀδάμ, καὶ ταφεὶς φθαρέντα με, καινοποιεῖς, **Φιλάνθρωπε.**

***ᾠδὴ γ',  ὁ α΄χορὸς,  ὁ Εἱρμὸς***

**Σ**ὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ Κτίσις κατιδοῦσα, ἐν τῷ Κρανίῳ κρεμάμενον, θάμβει πολλῷ συνείχετο. Οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε, κραυγάζουσα.

***ὁ β΄χορὸς***, **Σ**ὲ τὸν ἐπὶ ὑδάτων…

***ὁ α΄χορὸς*, *Στίχ.* Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.
**Σ**ύμβολα τῆς ταφῆς σου, παρέδειξας τὰς ὁράσεις πληθύνας, νῦν δὲ τὰ κρύφιά σου, θεανδρικῶς διετράνωσας, καὶ τοῖς ἐν ᾅδῃ Δέσποτα, οὐκ ἔστιν ἅγιος, πλὴν σου Κύριε, κραυγάζουσιν.
***ὁ β΄χορὸς*, *Στίχ.* Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.**Σ**ύμβολα τῆς ταφῆς σου…
***ὁ α΄χορὸς*, Δόξα Πατρὶ…Ἤ**πλωσας τὰς παλάμας, καὶ ἥνωσας τὰ τὸ πρὶν διεστῶτα, καταστολῇ δὲ Σῶτερ, τῇ ἐν σινδόνι καὶ μνήματι, πεπεδημένους ἔλυσας. Οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε, κραυγάζοντας.
***ὁ β΄χορὸς*, Καὶ νῦν…Μ**νήματι καὶ σφραγῖσιν, ἀχώρητε συνεσχέθης βουλήσει, καὶ γὰρ τὴν δύναμίν σου, ταῖς ἐνεργείαις ἐγνώρισας, θεουργικῶς τοῖς μέλπουσιν, οὐκ ἔστιν ἅγιος,… ***ὁ α΄χορὸς*…π**λήν σου Κύριε φιλάνθρωπε.
***ᾠδὴ δ' , ὁ β΄χορὸς, ὁ εἱρμὸς***
**Τ**ὴν ἐν Σταυρῷ σου θείαν κένωσιν, προορῶν Ἀββακοὺμ ἐξεστηκὼς ἐβόα. Σὺ δυναστῶν διέκοψας κράτος Ἀγαθέ, ὁμιλῶν τοῖς ἐν ᾅδη, ὡς παντοδύναμος.
***ὁ α΄χορὸς*, Τ**ὴν ἐν Σταυρῷ σου θείαν κένωσιν…
***ὁ β΄χορὸς*, *Στίχ.* Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.
**Ἑ**βδόμην σήμερον ἡγίασας, ἣν εὐλόγησας πρίν, καταπαύσει τῶν ἔργων, παράγεις γὰρ τὰ σύμπαντα, καὶ καινοποιεῖς, σαββατίζων Σωτήρ μου, καὶ ἀνακτώμενος.
***ὁ α΄χορὸς*, *Στίχ.* Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Ἑ**βδόμην σήμερον ἡγίασας…
***ὁ β΄χορὸς*, Δόξα Πατρί…Ῥ**ωμαλαιότητι τοῦ κρείττονος, ἐκνικήσαντός σου, τῆς σαρκὸς ἡ ψυχή σου, διῄ ρηται σπαράττουσα, ἄμφω γὰρ δεσμούς, τοῦ θανάτου καὶ ᾅδου, Λόγε τῷ κράτει σου.
***ὁ α΄χορὸς*, Καὶ νῦν…Ὁ** ᾅδης Λόγε συναντήσας σοι, ἐπικράνθη, βροτὸν ὁρῶν τεθεωμένον, κατάστικτον τοῖς μώλωψι, καὶ πανσθενουργόν, τῷ φρικτῷ τῆς μορφῆς δέ,… **ὁ β΄χορὸς…δ**ιαπεφώνηκεν.
***ᾠδὴ ε',ὁ α΄χορὸς, ὁ εἱρμὸς*, Θ**εοφανείας σου Χριστέ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἠσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν. Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ πάντες οἱ ἐν τῇ γῇ ἀγαλλιάσονται.

***ὁ β΄χορὸς***, **Θ**εοφανείας σου Χριστέ…

**ὁ α΄χορὸς**, **Στίχ. Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Ν**εοποιεῖς τοὺς γηγενεῖς, ὁ πλαστουργὸς χοϊκὸς χρηματίσας, καὶ σινδὼν καὶ τάφος ὑπεμφαίνουσι, τὸ συνὸν σοι Λόγε μυστήριον, ὁ εὐσχήμων γὰρ βουλευτής, τήν τοῦ σὲ φύσαντος βουλὴν σχηματίζει, ἐν σοὶ μεγαλοπρεπῶς καινοποιοῦντός με.

***ὁ β΄χορὸς***, ***Στίχ.*** **Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.**Ν**εοποιεῖς τοὺς γηγενεῖς…

***ὁ α΄χορὸς***, **Δόξα Πατρί...Δ**ιὰ θανάτου τὸ θνητόν, διὰ ταφῆς τὸ φθαρτὸν μεταβάλλεις, ἀφθαρτίζεις γὰρ θεοπρεπέστατα, ἀπαθανατίζων τὸ πρόσλημμα, ἡ γὰρ σάρξ σου διαφθορὰν οὐκ εἶδε Δέσποτα, οὐδὲ ἡ ψυχή σου εἰς ᾅδου, ξενοπρεπῶς ἐγκαταλέλειπται.

***ὁ β΄χορὸς***, **Καὶ νῦν...Ἐ**ξ ἀλοχεύτου προελθών, καὶ λογχευθεὶς τὴν πλευρὰν Πλαστουργέ μου, ἐξ αὐτῆς εἰργάσω τὴν ἀνάπλασιν, τὴν τῆς Εὔας Ἀδὰμ γενόμενος, ἀφυπνώσας ὑπερφυῶς, ὕπνον φυσίζωον, καὶ ζωὴν ἐγείρας ἐξ ὕπνου,... **ὁ α΄χορὸς** ...**κ**αὶ τῆς φθορᾶς ὡς παντοδύναμος.

***ᾠδὴ ς', ὁ β΄χορὸς, ὁ εἱρμὸς***, **Σ**υνεσχέθη, ἀλλ' οὐ κατεσχέθη, στέρνοις κητῴοις Ἰωνᾶς, σοῦ γὰρ τὸν τύπον φέρων, τοῦ παθόντος καὶ ταφῇ δοθέντος, ὡς ἐκ θαλάμου, τοῦ θηρὸς ἀνέθορε, προσεφώνει δὲ τῇ κουστωδίᾳ. Οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατελίπετε.

***ὁ α΄χορὸς***, **Σ**υνεσχέθη, ἀλλ' οὐ κατεσχέθη…

***ὁ β΄χορὸς***, **Στίχ. Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Ἀ**νῃρέθης, ἀλλ' οὐ διῃρέθης, Λόγε ἧς μετέσχες σαρκός, εἰ γὰρ καὶ λέλυταί σου, ὁ ναὸς ἐν τῷ καιρῷ τοῦ πάθους, ἀλλὰ καὶ οὕτω μία ἦν ὑπόστασις, τῆς θεότητος καὶ τῆς σαρκός σου, ἐν ἀμφοτέροις γάρ, εἷς ὑπάρχεις Υἱός, Λόγος τοῦ Θεοῦ, Θεὸς καὶ ἄνθρωπος.

***ὁ α΄χορὸς***, ***Στίχ.*** **Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Ἀ**νῃρέθης, ἀλλ' οὐ διῃρέθης…

***ὁ β΄χορὸς***, **Δόξα Πατρὶ...Β**ροτοκτόνον, ἀλλ' οὐ θεοκτόνον, ἔφυ τὸ πταῖσμα τοῦ Ἀδάμ, εἰ γὰρ καὶ πέπονθέ σου, τῆς σαρκὸς ἡ χοϊκὴ οὐσία, ἀλλ' ἡ θεότης ἀπαθὴς διέμεινε, τὸ φθαρτὸν δὲ σου πρὸς ἀφθαρσίαν μετεστοιχείωσας, καὶ ἀφθάρτου ζωῆς, ἔδειξας πηγὴν ἐξ ἀναστάσεως.

***ὁ α΄χορὸς***, **Καὶ νῦν...Β**ασιλεύει, ἀλλ' οὐκ αἰωνίζει, ᾅδης τοῦ γένους τῶν βροτῶν, σὺ γὰρ τεθεὶς ἐν τάφῳ, κραταιὲ

ζωαρχικῇ παλάμῃ, τὰ τοῦ θανάτου, κλεῖθρα διεσπάραξας, καὶ ἐκήρυξας τοῖς ἀπ' αἰῶνος ἐκεῖ καθεύδουσι λύτρωσιν ἀψευδῆ,... ***ὁ β'χορὸς***...**Σ**ῶτερ γεγονὼς νεκρῶν πρωτότοκος.
***ᾠδὴ ζ'ὁ α'χορὸς ὁ εἱρμὸς***
Ἄφραστον θαῦμα! Ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς Ὁσίους Παῖδας ἐκ φλογός, ἐν τάφῳ νεκρός, ἄπνους κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. Λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ.
***ὁ β'χορὸς***, **Ἄ**φραστον θαῦμα!...
***ὁ α'χορὸς***, ***Στίχ.*** **Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Τ**έτρωται ᾅδης, ἐν τῇ καρδίᾳ δεξάμενος τὸν τρωθέντα λόγχῃ τὴν πλευράν, καὶ σθένει πυρὶ θείῳ δαπανώμενος, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. Λυτρωτά, ὁ Θεός εὐλογητὸς εἶ.
***ὁ β'χορὸς***, ***Στίχ.*** **Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Ὄ**λβιος τάφος! ἐν ἑαυτῷ γὰρ δεξάμενος, ὡς ὑπνοῦντα τὸν Δημιουργόν, ζωῆς θησαυρός, θεῖος ἀναδέδεικται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. Λυτρωτά, ὁ Θεός εὐλογητὸς εἶ.
***ὁ α'χορὸς***, **Δόξα Πατρί...Ν**όμῳ θανόντων, τὴν ἐν τῷ τάφω κατάθεσιν, ἡ τῶν ὅλων δέχεται ζωή, καὶ τοῦτον πηγήν, δείκνυσιν ἐγέρσεως, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. Λυτρωτά, ὁ Θεός εὐλογητὸς εἶ.
***ὁ β'χορὸς***, **Καὶ νῦν...Μ**ία ὑπῆρχεν, ἡ ἐν τῷ ᾅδη ἀχώριστος, καὶ ἐν τάφῳ, καὶ ἐν τῇ Ἐδέμ, θεότης Χριστοῦ, σὺν Πατρὶ καὶ Πνεύματι, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. Λυτρωτά,...
***ὁ α'χορὸς***...**ὁ** Θεὸς εὐλογητὸς εἶ.
***ᾠδὴ η'ὁ β'χορὸς ὁ εἱρμὸς***, **Ἔ**κστηθι φρίττων οὐρανέ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς, ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται, ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
***ὁ α'χορὸς***, **Ἔ**κστηθι φρίττων οὐρανέ...
***ὁ β'χορὸς***, ***Στίχ.*** **Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Λ**έλυται ἄχραντος ναός, τὴν πεπτωκυῖαν δὲ συνανίστησι σκηνήν. Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτερος, ὁ ἐν ὑψίστοις οἰκῶν, κατῆλθεν μέχρις ᾅδου ταμείων, ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
***ὁ α'χορὸς***, ***Στίχ.*** **Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Λ**έλυται ἄχραντος ναός...

***ὁ β΄χορὸς,* Δόξα Πατρί…Π**έπαυται τόλμα Μαθητῶν, Ἀριμαθαίας δὲ ἀριστεύει Ἰωσήφ, νεκρὸν γὰρ καὶ γυμνὸν θεώμενος, τὸν ἐπὶ πάντων Θεόν, αἰτεῖται, καὶ κηδεύει κραυγάζων, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

***ὁ α΄χορὸς*, Καὶ νῦν…Ὢ** τῶν θαυμάτων τῶν καινῶν! ὢ ἀγαθότητος! ὢ ἀφράστου ἀνοχῆς! ἑκὼν γὰρ ὑπὸ γῆς σφραγίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ πλάνος Θεὸς συκοφαντεῖται, ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε,…***ὁ β΄χορὸς*…ε**ἰς πάντας τοὺς αἰῶνας.

***ᾠδὴ θ', ὁ α΄χορὸς*, *Ὁ Εἱρμὸς*, Μ**ὴ ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν τάφῳ, ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς, συνέλαβες Υἱόν, ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ, ἀπαύστως ὡς Θεός, τοὺς ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνοντας.

**ὁ β΄χορὸς**, **Μ**ὴ ἐποδύρου μου Μῆτερ…

**ὁ α΄χορὸς**, **Στίχ. Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Ἐ**πὶ τῷ ξένῳ σου τόκῳ, τὰς ὀδύνας φυγοῦσα, ὑπερφυῶς ἐμακαρίσθην, ἄναρχε Υἱέ, νῦν δὲ σε Θεέ μου, ἄπνουν ὁρῶσα νεκρόν, τῇ ῥομφαίᾳ τῆς λύπης, σπαράττομαι δεινῶς, ἀλλ' ἀνάστηθι, ὅπως μεγαλυνθήσωμαι.

***ὁ β΄χορὸς*, Στίχ. Δ**όξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.**Ἐ**πὶ τῷ ξένῳ σου τόκῳ…

***ὁ α΄χορὸς*, Δόξα Πατρί…Γ**ῆ με καλύπτει ἑκόντα, ἀλλὰ φρίττουσιν ᾅδου, οἱ πυλωροί, ἠμφιεσμένον, βλέποντες στολήν, ᾑμαγμένην Μῆτερ, τῆς ἐκδικήσεως, τοὺς ἐχθροὺς ἐν Σταυρῷ γάρ, πατάξας ὡς Θεός, ἀναστήσομαι αὖθις καὶ μεγαλύνω σε.

***ὁ β΄χορὸ,* Καὶ νῦν…Ἀ**γαλλιάσθω ἡ Κτίσις, εὐφραινέσθωσαν πάντες οἱ γηγενεῖς, ὁ γὰρ ἐχθρὸς ἐσκύλευται ᾅδης, μετὰ μύρων Γυναῖκες προσυπαντάτωσαν, τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ, λυτροῦμαι παγγενῆ, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξαναστήσομαι.

***ὁ α΄χορὸς*, Μ**ὴ ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν τάφῳ, ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς, συνέλαβες Υἱόν, ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ, ἀπαύστως ὡς Θεός, τοὺς ἐν πίστει καὶ **πόθῳ σὲ μεγαλύνοντας.**

**<u>Τρισάγιον</u>. Παναγία Τριάς…, Πάτερ ἡμῶν…, Ὅτι σοῦ ἐστιν…**

***Ἀπολυτίκιον. Ἦχος β΄.***

**Ὅ**τε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς θεότητος, ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον, Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

***ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ, Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου,… Χ.:Ἀμήν. Ὁ Ἱερεύς, στραφεὶς πρὸς τὸν Λαόν, ποιεῖ τὴν Μικρὰν Ἀπόλυσιν·*** *μετὰ τοῦ* ***«Ὁ Ἀναστὰς ἐκ νεκρῶν…Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν,….»***

**ΤΕΛΕΤΗ ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ.** ***(σβηστά φωτα, ο χορός μέσα στο ιερό-δεν το λέμε υποχρεωτικά): ΕΩΘΙΝΟΝ Ζ' Ἦχος βαρὺς***

*Ἰδοὺ σκοτία καὶ πρωΐ, …*

**ΤΕΛΕΤΗ ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ.** ***(σβηστά φωτα)Ἦχος πλ. α', ὁ Προεξάρχων (στο αριστερό χέρι το Ευαγγέλιο, με αναμμένη λαμπάδα από τον ακοίμητη καντήλα, προσκαλει τον λαό):***

**Δ**εῦτε λάβετε φῶς ἐκ τοῦ ἀνεσπέρου φωτός, καὶ δοξάσατε Χριστόν, τὸν ἀναστάντα ἐκ νεκρῶν.

***ὁ α' χορὸς***, **Δ**εῦτε λάβετε φῶς ἐκ τοῦ ἀνεσπέρου φωτός,…***ὁ β' χορὸς***, **Δ**εῦτε λάβετε φῶς…

***(ΕΞΟΔΟΣ ΕΚ ΤΟΥ ΝΑΟΥ-εξαπτέρυγα, λάβαρο αναστάσεως)ὁ α'χορὸς.Ἦχος πλ. β'***

**Τ**ὴν ἀνάστασίν σου, Χριστὲ Σωτήρ, Ἄγγελοι ὑμνοῦσιν ἐν οὐρανοῖς, καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.

***ὁ Διάκονος(στο τρισκέλιο το Ευαγγέλιο): Κ****αὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς…* ***ὁ α'χορὸς: Κ****ύριε, ἐλέησον* ***(γ').*** ***ὁ Διάκονος: Σ****οφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.* ***ὁ Προεξάρχων: Ε****ἰρήνη πᾶσι.* ***ὁ β'χορὸς: Κ****αὶ τῷ Πνεύματί σου.* ***ὁ Προεξάρχων: Ἐ****κ τοῦ κατὰ Μάρκον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα,* ***Διάκονος: Π****ρόσχωμεν.* ***ὁ α'χορὸς*** *, Δόξα σοι, Κύριε, δόξα σοι.****(Κεφ. 16,1-8)*** **ὁ Προεξάρχων: Δ**ιαγενομένου τοῦ Σαββάτου,…**ὁ α'χορὸς**, **Δ**όξα σοι, Κύριε, δόξα σοι.

**ΤΗι ΑΓΙΑι ΚΑΙ ΜΕΓΑΛΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΠΑΣΧΑ.ΟΡΘΡΟΣ**, **ὁ Προεξάρχων θυμιῶν: Δ**όξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων.

***Ἦχος πλ. α'*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, **ζωὴν χαρισάμενος** *(Χ).*

***Λέγεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ προεξάρχοντος Ἀρχιερέως ἢ Ἱερέως ἄνευ στίχων. Εἶθ' οὕτω λέγει τοὺς ἑπομένους στίχους ὁ προεξάρχων, καθ' ἕκαστον δὲ στίχον ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.***

***Στίχ. α',*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. **ὁ α'χορὸς**, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Στίχ. β',*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **ὁ β'χορὸς**, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Στίχ. γ',*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **ὁ α'χορὸς**, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Στίχ. δ',*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ὁ α'χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***ὁ α'χορὸς***, **Δόξα Πατρί…Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…***ὁ β'χορὸς***, **Καὶ νῦν…Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Εἶτα ὁ προεξάρχων, γεγονωτέρᾳ φωνῇ***

**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας…***ὁ β'χορὸς…*κ**αὶ τοῖς ἐν τοῖς μνήμασι **ζωὴν χαρισάμενος.**

***Ι. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. …(ΕΠΑΝΕΡΧΟΜΕΘΑ ΕΙΣ ΤΟΝ ΝΑΟΝ), [Μετά τήν ἐκφώνησιν «Ὅτι πρέπει σοι, πᾶσα δόξα…» ἐπανερχόμεθα εἰς τον Ναόν, ψαλλομένου τοῦ Κανόνος τοῦ Πάσχα «Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν Λαοί…». ὁ Κανών, ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ, ψάλλεται δὲ μετὰ τῶν εἱρμῶν εἰς ἓξ ἢ χάριν συντομίας εἰς τέσσαρα τροπάρια, ᾠδὴ α' , Ἦχος α' , ὁ α'χορὸς εἱρμὸς***

**Ἀ**ναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί, Πάσχα Κυρίου, Πάσχα, ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

**ὁ β'χορὸς**, **Ἀ**ναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί,…

**ὁ α'χορὸς**, **Στίχ. Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

**Κ**αθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καί, Χαίρετε, φάσκοντα, τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες.

**ὁ β'χορὸς**, **Στίχ. Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε. **Κ**αθαρθῶμεν τὰς αἰσθήσεις,…

***ὁ α΄χορὸς*, Δόξα Πατρί…Ο**ὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος, Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

***ὁ β΄χορὸς*, Καὶ νῦν…Ο**ὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν,…

***ὁ α΄χορὸς*, *Καταβασία*, Ἀ**ναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί, Πάσχα Κυρίου, Πάσχα, ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

***ὁ β΄χορὸς*, Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

***ὁ α΄χορὸς*, Χ**ριστὸς ἀνέστη… **ὁ β΄χορὸς,Χ**ριστὸς ἀνέστη… ***ὁ α΄χορὸς*, Ἀ**ναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν **καὶ μέγα ἔλεος.**

***Εἶτα, Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις*,*Ὅ**τι σὸν τὸ κράτος…ᾠδὴ γ',* ***ὁ α΄χορὸς***,*ὁ εἱρμὸς*

**Δ**εῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

***ὁ β΄χορὸς*, Δ**εῦτε πόμα πίωμεν καινόν,…

***ὁ α΄χορὸς*, *Στίχ.* Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

**Ν**ῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ, καὶ τὰ καταχθόνια, ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

***ὁ β΄χορὸς*, *Στίχ.* Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

**Ν**ῦν πάντα πεπλήρωται φωτός,…

***ὁ α΄χορὸς*, Δόξα Πατρὶ …Χ**θὲς συνεθαπτόμην σοι Χριστὲ συνεγείρομαι σήμερον ἀναστάντι σοι, συνεσταυρούμην σοι χθὲς αὐτὸς με συνδόξασον Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

***ὁ β΄χορὸς*, Καὶ νῦν… Χ**θὲς συνεθαπτόμην σοι Χριστὲ…

***ὁ α΄χορὸς*, *Καταβασία* , Δ**εῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

***ὁ β΄χορὸς*, Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

***ὁ α΄χορὸς*, Χ**ριστὸς ἀνέστη… ***ὁ β΄χορὸς*, Χ**ριστὸς ἀνέστη… **ὁ α΄χορὸς**, **Ἀ**ναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν **καὶ μέγα ἔλεος.**

***Εἶτα, Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις,*** ***Ὅ****τι σὺ εἶ ὁ Θεὸς ἡμῶν…* ***Ἡ Ὑπακοὴ Ἦχος δ' (χῦμα)***, **Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τὶ ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον, ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

***ᾠδὴ δ'*** , ***ὁ β'χορὸς, ὁ εἱρμὸς*** , **Ἐ**πὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα, Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστός ὡς παντοδύναμος.

***ὁ α'χορὸς***, **Ἐ**πὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ,…

**ὁ β'χορὸς**, **Στίχ. Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

**Ἄ**ρσεν μέν, ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστός, ὡς βρωτὸς δέ, ἀμνὸς προσηγόρευται, ἄμωμος δέ, ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα, καὶ ὡς Θεὸς ἀληθής, τέλειος λέλεκται.

**ὁ α'χορὸς**, **Στίχ. Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

**Ἄ**ρσεν μέν, ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδύν…

***ὁ β'χορὸς***, **Δόξα Πατρὶ … Ὡ**ς ἐνιαύσιος ἀμνός, ὁ εὐλογούμενος ἡμῖν, στέφανος χρηστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον, καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

***ὁ α'χορὸς***, **Καὶ νῦν…Ὁ** θεοπάτωρ μὲν Δαυῒδ, πρὸ τῆς σκιώδους κιβωτοῦ ἥλατο σκιρτῶν, ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

***Καταβασία ,ὁ β'χορὸς***, **Ἐ**πὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα, Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστός ὡς παντοδύναμος.

***ὁ α'χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

***ὁ β'χορὸς***, **Χ**ριστὸς ἀνέστη… ***ὁ α'χορὸς***, **Χ**ριστὸς ἀνέστη… ***ὁ β'χορὸς***, **Ἀ**ναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν **καὶ μέγα ἔλεος**.

***Εἶτα, Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις,*** ***Ὅ****τι ἀγαθὸς καὶ φιλάνθρωπος…* ***ᾠδὴ ε' ὁ α'χορὸςὁ εἱρμὸς***

**Ὀ**ρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσομεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.
***ὁ β΄χορὸς***, **Ὀ**ρθρίσωμεν ὄρθρου βαθέος...
***ὁ α΄χορὸς, Στίχ.*** **Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.
**Τ**ὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ Ἅιδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστέ, ἀγαλλομένῳ ποδί, Πάσχα κροτοῦντες αἰώνιον.
***ὁ β΄χορὸς***, ***Στίχ.*** **Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε. **Τ**ὴν ἄμετρόν σου εὐσπλαγχνίαν,...
***ὁ α΄χορὸς,*** **Δόξα Πατρὶ ...Π**ροσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.
***ὁ β΄χορὸς,*** **Καὶ νῦν... Π**ροσέλθωμεν λαμπαδηφόροι,...
***Καταβασία ὁ α΄χορὸς***, **Ὀ**ρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσομεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.
***ὁ β΄χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.
***ὁ α΄χορὸς***, **Χ**ριστὸς ἀνέστη... **ὁ β΄χορὸς**, **Χ**ριστὸς ἀνέστη... **ὁ α΄χορὸς**, **Ἀ**ναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν **καὶ μέγα ἔλεος**.
***Εἶτα, Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις***, ***Ὅ****τι ἡγίασται...*
***ᾠδὴ ς' , ὁ β΄χορὸς, ὁ εἱρμὸς*** , **Κ**ατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.
***ὁ α΄χορὸς***, **Κ**ατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς,...
***ὁ β΄χορὸς***, **Στίχ. Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.
**Φ**υλάξας τὰ σήμαντρα σῷα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέωξας ἡμῖν, Παραδείσου τὰς πύλας.
***ὁ α΄χορὸς***, ***Στίχ.*** **Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.
**Φ**υλάξας τὰ σήμαντρα σῷα Χριστέ,...
***ὁ β΄χορὸς***, **Δόξα Πατρὶ ... Σ**ῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον, ὡς Θεός, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρί, συνανέστησας, παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

***ὁ α΄χορὸς***, **Καὶ νῦν...Σ**ῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον...
***Καταβασία ,ὁ β΄χορὸς***, **Κ**ατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.
***ὁ α΄χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.
***ὁ β΄χορὸς***, **Χ**ριστὸς ἀνέστη... ***ὁ α΄χορὸς***, **Χ**ριστὸς ἀνέστη... ***ὁ β΄χορὸς***, **Ἀ**ναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν **καὶ μέγα ἔλεος.**
***Εἶτα, Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις, Σὺ γὰρ εἶ ὁ βασιλεύς...Κοντάκιον Ἦχος πλ. δ'***
**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος **ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.**
***Ὁ Οἶκος*** , **Τ**ὸν πρὸ ἡλίου Ἥλιον, δύναντά ποτε ἐν τάφῳ, προέφθασαν πρὸς ὄρθρον, ἐκζητοῦσαι ὡς ἡμέραν, Μυροφόροι κόραι, καὶ πρὸς ἀλλήλας ἐβόων, ὢ φίλαι, δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν, Σῶμα ζωηφόρον καὶ τεθαμμένον, σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδὰμ κείμενον ἐν τῷ μνήματι, ἄγωμεν, σπεύσωμεν, ὥσπερ οἱ Μάγοι, καὶ προσκυνήσωμεν, καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα τῷ μὴ ἐν σπαργάνοις, ἀλλ' ἐν σινδόνι ἐνειλημένῳ, καὶ κλαύσωμεν, καὶ κράξωμεν, Ὢ Δέσποτα ἐξεγέρθητι, **ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.**
***Συναξάριον***, *Τῇ Κ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Τριχινᾶ. Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Ζακχαίου.*
Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, αὐτὴν τὴν ζωηφόρον Ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου, καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.
***Στίχοι*** , Χριστὸς κατελθὼν πρὸς πάλην Ἅιδου μόνος. Λαβὼν ἀνῆλθε πολλὰ τῆς νίκης σκύλα.
Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
**Ἀ**νάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου,

Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν, Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον ούκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν, Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν, ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ, Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ, Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν. ***(Ἀναγινώσκεται ἐκ τρίτου)***

**Ἀ**ναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος. ***(Ἀναγινώσκεται ἐκ τρίτου)***

***ᾠδὴ ζ' ὁ α’χορὸς ὁ εἱρμὸς***

**Ὁ** Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

***ὁ β’χορὸς***, **Ὁ** Παῖδας ἐκ καμίνου ῥυσάμενος,...

***ὁ α’χορὸς, Στίχ.*** **Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

**Γ**υναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον, ὃν δὲ ὡς θνητόν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα Θεόν, καὶ Πάσχα τὸ μυστικὸν σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

***ὁ β’χορὸς, Στίχ.*** **Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

**Γ**υναῖκες μετὰ μύρων θεόφρονες,...

***ὁ α’χορὸς***, **Δόξα Πατρὶ ... Θ**ανάτου ἑορτάζομεν νέκρωσιν Ἅιδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχήν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

***ὁ β’χορὸς***, **Καὶ νῦν... Ὡ**ς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας, τῆς Ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.

***Καταβασία ὁ α’χορὸς***, **Ὁ** Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ Πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

***ὁ β’χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

***ὁ α΄χορὸς***, **Χ**ριστὸς ἀνέστη… ***ὁ β΄χορὸς***, **Χ**ριστὸς ἀνέστη… ***ὁ α΄χορὸς***, **Ἀ**ναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.
***Εἶτα, Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις***, *Εἴη τὸ κράτος…****ᾠδὴ η' ὁ β΄χορὸςὁ εἱρμὸς***
**Α**ὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν είς τοὺς αἰῶνας.
***ὁ α΄χορὸς***, **Α**ὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,…
***ὁ β΄χορὸς***, ***Στίχ.*** **Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.
**Δ**εῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτόν, ὡς Θεόν είς τοὺς αἰῶνας.
***ὁ α΄χορὸς***, ***Στίχ.*** **Δ**όξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε. **Δ**εῦτε τοῦ καινοῦ τῆς ἀμπέλου…
***ὁ β΄χορὸς***, ***Στίχ.*** **Ε**ὐλογοῦμεν Πατέρα ,Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον.
**Ἆ**ρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε, ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν καὶ βοῤῥᾶ, καὶ θαλάσσης, καὶ ἑῴας τὰ τέκνα σου ἐν σοὶ εὐλογοῦντα, Χριστὸν είς τοὺς αἰῶνας.
***ὁ α΄χορὸς***, **Καὶ νῦν…Π**άτερ παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε είς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν, είς πάντας τοὺς αἰῶνας.
***ὁ β΄χορὸς***, ***Καταβασία, Στίχ.*** **Α**ἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον.
**Α**ὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν είς τοὺς αἰῶνας.
***ὁ α΄χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.
***ὁ β΄χορὸς***, **Χ**ριστὸς ἀνέστη… ***ὁ α΄χορὸς***, **Χ**ριστὸς ἀνέστη… ***ὁ β΄χορὸς***, **Ἀ**ναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν **καὶ μέγα ἔλεος.**
***Εἶτα, Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις***, *Ὅτι ηὐλόγηται…****Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς…ᾠδὴ θ' ὁ α΄χορὸς***

***Στίχ.*** **Μ**εγάλυνον, ψυχή μου, τόν ἐθελουσίως παθόντα καί ταφέντα καί ἐξαναστάντα τριήμερον ἐκ τάφου.
***ὁ εἱρμὸς***, **Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.
***ὁ β'χορὸς***, ***Στίχ.*** **Μ**εγάλυνον, ψυχή μου, τόν ἐξαναστάντα, τριήμερον ἐκ τάφου, Χριστόν τόν ζωοδότην.
**Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ,...
***ὁ α'χορὸς***, ***Στίχ.*** **Χ**ριστός τό Καινόν Πάσχα, τό ζωόθυτον θῦμα, ἀμνός Θεοῦ, ὁ αἴρων τήν ἁμαρτίαν κόσμου.
**Ὢ** θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς, μεθ' ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ, ἣν οἱ πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.
***ὁ β'χορὸς***, ***Στίχ.*** **Σ**ήμερον πᾶσα κτίσις ἀγάλλεται καί χαίρει, ὅτι Χριστός ἀνέστη καί ῞Αιδης ἐσκυλεύθη.
**Ὢ** θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς,...
***ὁ α'χορὸς,*** Δόξα Πατρί...***Στίχ.*** **Μ**εγάλυνον, ψυχή μου, τῆς τρισυποστάτου καί ἀδιαιρέτου Θεότητος τό κράτος.
**Ὢ** Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ, ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.
***ὁ β'χορὸς***. Καὶ νῦν... ***Στίχ.*** **Χ**αῖρε, Παρθένε, χαῖρε, χαῖρε, εὐλογημένη, χαῖρε, δεδοξασμένη· σός γάρ Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου.
**Ὢ** Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ,...
***Καταβασία*** , ***ὁ α'χορὸς***, ***Στίχ.*** **Ὁ**῞Αγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· ῾Αγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου.
**Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου. ***ὁ β'χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.
***ὁ α'χορὸς,*** **Χ**ριστὸς ἀνέστη...**ὁ β'χορὸς**, **Χ**ριστὸς ἀνέστη... ***ὁ α'χορὸς***, **Ἀ**ναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν **καὶ μέγα ἔλεος.**
***Εἶτα, Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις***, ***῞Οτι σὲ αἰνοῦσι...***
***Ἐξαποστειλάριον αὐτόμελον ὁ α'χορὸς Ἦχος β'***

**Σ**αρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον, Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον.
***ὁ β΄χορὸς***, **Σ**αρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, …***ὁ α΄χορὸς***, **Σ**αρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς…***ὁ β΄χορὸς***… **τοῦ κόσμου σωτήριον.**
***ΑΙΝΟΙ ὁ α΄ χορός Ἦχος α΄.***
**Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.
***ὁ β΄ χορός,*** **Α**ἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.
***ὁ α΄ χορός***, ***Στίχ.*** **Α**ἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
**Ὑ**μνοῦμέν σου Χριστέ, τὸ σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.
***ὁ β΄ χορός, Στίχ.*** **Α**ἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
**Ὁ** Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε, ὡς μόνος παντοδύναμος.
***ὁ α΄ χορός, Στίχ.*** **Α**ἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.
**Ὁ** τὸν Ἅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ ἀναστάσει σου, Χριστέ, ἀξίωσον ἡμᾶς, ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε. ***ὁ β΄ χορός, Στίχ.*** **Α**ἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
**Τ**ὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες ὑμνοῦμέν σε, Χριστέ, ἐτέχθης ἐκ Παρθένου καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί, Ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας σταυρόν, Ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθὼν, ἵνα σώσῃς τὸν κόσμον, Κύριε, δόξα σοι.
***Εἶτα τὰ Στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν Στίχων αὐτῶν. ὁ α΄ χορός Ἦχος πλ. α΄***
***Στίχ.*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

**Π**άσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται, Πάσχα καινόν, Ἅγιον, Πάσχα μυστικόν, Πάσχα πανσεβάσμιον, Πάσχα Χριστὸς ὁ λυτρωτής, Πάσχα ἄμωμον, Πάσχα μέγα, Πάσχα τῶν πιστῶν, Πάσχα, τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν, Πάσχα, πάντας ἁγιάζον πιστούς.

***ὁ β΄ χορός, Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

**Δ**εῦτε ἀπὸ θέας Γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε, Δέχου παρ' ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ, τέρπου, χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

***ὁ α΄ χορός, Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

**Α**ἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον, ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε. Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε, τοῖς αὐτοῦ Μαθηταῖς.

***ὁ β΄ χορός, Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

**Π**άσχα τὸ τερπνόν, Πάσχα Κυρίου, Πάσχα, Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε, Πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα, ὢ Πάσχα λύτρον λύπης, καὶ γὰρ ἐκ τάφου σήμερον ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστός, τὰ γύναια χαρᾶς ἔπλησε λέγων, κηρύξατε Ἀποστόλοις.

***ὁ α΄ χορός.*** Δόξα Πατρί... ***ὁ β΄ χορός,*** Καὶ νῦν...***ὁ α΄ χορός***

**Ἀ**ναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα, Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς, Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν,...

***ὁ β΄ χορός,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***ὁ α΄ χορός,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...***ὁ β΄ χορός,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***<u>Εἴ τις εὐσεβὴς καὶ φιλόθεος...</u>ὁ α΄χορὸς Ἦχος πλ. δ΄,*** **Ἡ** τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς

ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν, Ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, **σωθῆναι τὰς ψυχὰς ἡμῶν.**

***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,*** *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς …* ***Ἦχος πλ. α'***

**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, **ζωὴν χαρισάμενος *(Χ)*.**

***Λέγεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ προεξάρχοντος Ἀρχιερέως ἢ Ἱερέως ἄνευ στίχων. Εἶθ' οὕτω λέγει τοὺς ἐπομένους στίχους ὁ προεξάρχων, καθ' ἕκαστον δὲ στίχον ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.***

***Στίχ. α'*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. ***ὁ α' χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Στίχ. β',*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β' χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Στίχ. γ',*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α' χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Στίχ. δ',*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ὁ α' χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***ὁ α' χορὸς,*** Δόξα Πατρί…**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***ὁ β' χορὸς,*** Καὶ νῦν…**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Εἶτα ὁ προεξάρχων, γεγονωτέρᾳ φωνῇ***

**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας…***ὁ β' χορὸς…*****κ**αὶ τοῖς ἐν τοῖς μνήμασι **ζωὴν χαρισάμενος.**

***ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ…Ἀντίφωνον α' Ἦχος β'***

***Στίχ.*** **Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. ***ὁ α' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. ***ὁ α' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
Δόξα Πατρὶ… Καὶ νῦν…**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***Ἀντίφωνον β', Ἦχος ὁ αὐτὸς, Στίχ.***
**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. ***ὁ β' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.
***Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. ***ὁ α' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…
***Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. ***ὁ β' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…
***Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. ***ὁ α' χορός*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…
Δόξα Πατρί… Καὶ νῦν…***ὁ β' χορός ,*** **Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὤν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, **σῶσον ἡμᾶς.**
***Ἀντίφωνον γ' Ἦχος πλ. α'***
***Στίχ.*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. ***ὁ α' χορός,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
***Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β' χορός ,*** **Χ**ριστὸς ἀνέστη…
***Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α' χορός,*** **Χ**ριστὸς ἀνέστη… ***Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **ὁ β' χορός,** **Χ**ριστὸς ἀνέστη…
***Εἰσοδικὸν (το ψάλλουν <u>οι</u> ιερεις ή ο χορός),*** **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι΄ **Ἀ**λληλούϊα.

***Εἶτα τὸ***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...**(ἐκ γ').** ***ὁ β' χορός,Ἡ Ὑπακοὴ  Ἦχος δ'***

**Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον, ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

***ὁ α' χορός, Κοντάκιον  Ἦχος πλ. δ'***

**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

***Ἀντὶ δὲ τοῦ Τ ρ ι σ α γ ί ο υ,Ἦχος α'***, **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, **Ἀ**λληλούϊα.

***ΑΠΟΣΤΟΛΟΣ,Προκείμενον  Ἦχος πλ. δ'***

**Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

***Στίχ.*** **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

**Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα**

**Τ**ὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων͵ ὦ Θεόφιλε͵ ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου οὓς ἐξελέξατο ἀνελήφθη· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις͵ δι΄ ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ. Καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι͵ ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι͵ ὑμεῖς δὲ ἐν πνεύματι βαπτισθήσεσθε ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Οἱ μὲν οὖν συνελθόντες ἠρώτων αὐτὸν λέγοντες͵ Κύριε͵ εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; εἶπεν δὲ πρὸς αὐτούς͵ Οὐχ ὑμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ· ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ΄ ὑμᾶς͵ καὶ ἔσεσθέ μου

μάρτυρες ἔν τε Ἰερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς.

***...Εἰς τὸ Ἐξαιρέτως,ὁ α΄χορὸς,Ἦχος α΄ , Στίχ.*** **Ὁ**Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου. **Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἰερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

***...Κοινωνικὸν ,ὁ β΄ χορός ,Ἦχος α',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου **γεύσασθε.*Ἀντὶ τοῦ «Ε***ἴδομεν τὸ φῶς...» ***καὶ τοῦ «Ε****ἴη τὸ ὄνομα Κυρίου εὐλογημένον...»* ***λέγεται τό***, Χριστὸς ἀνέστη**...**

***Ἀπόλυσις: Διαλογική·*** «Ὁ ἀναστάς ἐκ νεκρῶν...». ***ὁ Προεξάρχων: πρός τόν λαόν·*** «Χριστός ἀνέστη». ***Ὁ Λαός:*** «Ἀληθῶς ἀνέστη», ***τό αὐτό ἐπαναλαμβάνεται ἄλλας δύο φοράς καί ἀκολούθως ἐκφωνεῖ·ὁ Προεξάρχων: Τό·*** «Δόξα τῇ Αὐτοῦ τριημέρῳ ἐγέρσει».***Ὁ Λαός: Ἀποκρίνεται διά τοῦ·*** «Προσκυνοῦμεν Αὐτοῦ τήν τριήμερον ἔγερσιν». ***ὁ Προεξάρχων: Κατακλείει διά τοῦ·*** «Χριστός ἀνέστη...**» *(ὅλον), καί Ὁ Λαός: Ἀντιφωνεῖ·*** «Ἀληθῶς ἀνέστη ὁ Κύριος».

**ΠΑΣΧΑΛΙΟΣ ΗΜΕΡΟΝΥΚΤΙΟΣ ΑΚΟΛΟΥΘΙΑ**. ***Ἀπὸ τῆς ἡμέρας τῆς ἁγίας καὶ μεγάλης Κυριακῆς τοῦ Πάσχα καὶ καθ΄ ὅλην τὴν Διακαινήσιμον ἑβδομάδα μέχρι τοῦ Ἑσπερινοῦ τοῦ Σαββάτου, ὡς καὶ καὶ ἀπὸ τοῦ Ἑσπερινοῦ τῆς Τρίτης τῆς ς΄ ἀπὸ τοῦ Πάσχα ἑβδομάδος (Τυφλοῦ) μέχρι τοῦ Ἑσπερινοῦ τῆς Τετάρτης, καθ΄ ἣν ἀποδίδεται ἡ ἑορτὴ τοῦ ἁγίου Πάσχα ἀντί· ΜΕΣΟΝΥΚΤΙΚΟΥ, ΩΡΩΝ, καὶ ΑΠΟΔΕΙΠΝΟΥ, αναγινώσκεται ἡ ἑξῆς Ἀκολουθία.***

***Ὁ Ἱερεύς·*** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Χ.:Ἀμήν. **(*χωρίς ἱερέα*:**Δι΄εὐχῶν τῶν ἁγίων πατέρων...)**(*χῦμα*)**

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος **(*3*).** Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν

τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι´ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν. ***(τρίς).*** Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον, ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων. Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ Μυροφόροις φθεγξάμενος· Χαίρετε· καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν. Ἐν τάφῳ σωματικῶς, ἐν Ἅδου δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δὲ μετὰ Λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος. Δόξα... Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως. Καὶ νῦν... Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε, τοῖς κραυγάζουσιν· Εὐλογημένη σύ, ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε Δέσποινα. ***Τό,*** Κύριε, ἐλέησον ***(μ´).*** Δόξα... Καὶ νῦν... Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. ΕΝ ΟΝΟΜΑΤΙ ΚΥΡΙΟΥ ΕΥΛΟΓΗΣΟΝ, ΠΑΤΕΡ. **Ἱ.:Δι´ εὐχῶν** τῶν ἁγίων Πατέρων ἡμῶν... ***(ΑΠΟΛΥΣΙΣ) Καὶ πάλιν ὁμοίως, τό,*** Χριστὸς ἀνέστη... ***ἐκ γ´, καὶ τὰ λοιπά. Τρισσεύεται δὲ ἡ τοιαύτη Ἀκολουθία, ὡς ἔχει, ἐν τῷ Μεσονυκτικῷ, ταῖς Ὥραις, καὶ ἐν τοῖς Ἀποδείπνοις, καὶ κλείεται διὰ τοῦ*** «Χριστὸς ἀνέστη...». ***Μετὰ τὸ δι´ εὐχῶν τοῦ Ἀποδείπνου λέγομεν· Εὐχὴ τοῦ Μεγ. Βασιλείου***

……………………………

**Εὐλογητὸς** εἶ, Δέσποτα παντοκράτωρ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ καὶ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός· ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτός. Ἐπάκουσον τῆς δεήσεως ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου· καὶ πᾶσιν ἡμῖν συγχωρήσας τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα, πρόσδεξαι τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. Τείχισον ἡμᾶς ἁγίοις ἀγγέλοις σου. Ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σου. Περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου. Φρούρησον ἡμᾶς τῇ δυνάμει σου. Ῥῦσαι ἡμᾶς ἐκ πάσης περιστάσεως καὶ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Παράσχου δὲ ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν, σὺν τῇ ἐπερχομένῃ νυκτί, τελείαν, ἁγίαν, εἰρηνικήν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφάνταστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ΄ αἰῶνος σοι εὐαρεστησάντων· Ἀμήν.

…………………………

**ΠΡΙΝ ΤΟΝ ΕΣΠΕΡΙΝΟ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ: Χριστὸς** ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. (3) *(ψάλλεται πολλάκις καὶ γίνεται ὁ ἀσπασμός τῆς εἰκόνος Ἀναστάσεως).*

……………………………

Ι. *Απόλυσις*: **Χριστὸς** ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. (3) *(κρατωντας λαμπάδα)* Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. ΔΟΞΑ ΠΑΤΡΙ…ΚΑΙ ΝΥΝ ΚΑΙ ΑΕΙ…ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ, (3) ΠΑΤΕΡ ΑΓΙΕ,ΕΥΛΟΓΗΣΟΝ..Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τοῦ ἁγίου *(τοῦ Ναοῦ),* τοῦ (ΤΩΝ) ἁγίου (-ΩΝ) *(τῆς ἡμέρας),* οὗ (ΩΝ) καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

……………………………………

**ΠΡΙΝ ΤΟΝ ΕΣΠΕΡΙΝΟ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ: ὁ Προεξάρχων:** πρός τόν λαόν· ***«Χριστός ἀνέστη».*** **῾Ο Λαός:** ***«΄Αληθῶς***

***ἀνέστη»,*** τό αὐτό ἐπαναλαμβάνεται ἄλλας δύο φοράς καί ἀκολούθως ἐκφωνεῖ˙**ὁ Προεξάρχων:** Τό˙ ***«Δόξα τῇ Αὐτοῦ τριημέρῳ ἐγέρσει***».
**῾Ο Λαός:** ᾿Αποκρίνεται διά τοῦ˙ ***«Προσκυνοῦμεν Αὐτοῦ τήν τριήμερον ἔγερσιν». ὁ* Προεξάρχων:** *(χῦμα)* Κατακλείει διά τοῦ˙
………………………………………
**«Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.**
**῾Ο Λαός:** ᾿Αντιφωνεῖ˙ ***«᾿Αληθῶς ἀνέστη ὁ Κύριος».***

**Εσπερινός της αγάπης, Κυριακή του Πάσχα**
***Ι.*** Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
***Ἦχος πλ. α' ,*** Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
***Λέγεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ Ἱερέως, καὶ τρὶς ὑπὸ τῶν Χορῶν ἄνευ στίχων. Εἶθ' οὕτω λέγει τοὺς ἑπομένους Στίχους ὁ Ἱερεὺς ἢ ὁ Διάκονος καθ' ἕκαστον δὲ Στίχον ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.***
***Στίχ. α'*** Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
***Στίχ. β'*** Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.
***Στίχ. γ'*** Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.
***Στίχ. δ'*** Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
Δόξα… Χριστὸς ἀνέστη…
Καὶ νῦν… ***τὸ αὐτὸ***
***Εἶτα ὁ Ἱερεύς, γεγονωτέρᾳ φωνῇ***
Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας… ***Ὁ Χορὸς.*** Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.
***Ι.*** Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.(***Χ***. Κύριε, ελέησον)…Ὅτι πρέπει σοι, …καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων**. Χ.** Ἀμήν. ***Ψαλμὸς 140,* Ἦχος β'**
<u>Κύριε ἐκέκραξα </u>πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου,

Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σὲ εἰσάκουσόν μου, Κύριε.
Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινὴ εἰσάκουσόν μου, Κύριε.
***Στίχ***. **Ἐ**ὰν ἀνομίας παρατηρήσης, Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.
***Στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου, Ἦχος β´***
Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν λόγον σαρκωθέντα, ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν· Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτός ἠθέλησε, καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.
***Στίχ***. **Ἕ**νεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.
***Ἦχος β´,*** Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας, τῷ Σταυρῷ ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε, προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον Ἔγερσιν.
***Στίχ***. **Ἀ**πὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.
***Ἦχος β´,*** Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν Ἀνάστασιν· αὐτὸς γὰρ Λυτρωτὴς ἐστι, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ ἐν δόξῃ φοβερᾷ καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται, κρῖναι κόσμον ὃν ἔπλασεν.
***Στίχ***. **Ὅ**τι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.
***Ἕτερα Στιχηρά, Ἀνατολικά. - Ὀκτώηχος, Ἦχος β´***
Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα, Ἄγγελος ἐκήρυξε Δεσπότην, καὶ ἔλεγε ταῖς γυναιξί· Δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ Κύριος· Ἀνέστη γὰρ καθὼς εἶπεν, ὡς παντοδύναμος· διό σε προσκυνοῦμεν τὸν μόνον ἀθάνατον, ζωοδότα Χριστέ, ἐλέησον ἡμᾶς.
***Στίχ. ὁ α' χορός, Στίχ.*** **Α**ἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. ***ἦχος ὁ αὐτὸς***

**Ἐ**ν τῷ Σταυρῷ σου κατήργησας, τὴν τοῦ ξύλου κατάραν, ἐν τῇ ταφῇ σου ἐνέκρωσας τοῦ θανάτου τὸ κράτος, ἐν δὲ τῇ ἐγέρσει σου ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων, διὰ τοῦτό σοι βοῶμεν, Εὐεργέτα Χριστέ, ὁ Θεὸς ἡμῶν δόξα σοι.
***ὁ β' χορός, Στίχ.*** **Ὅ**τι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει είς τὸν αἰῶνα. ***ἦχος ὁ αὐτὸς***
**Ἠ**νοίγησάν σοι Κύριε φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν, πύλας γὰρ χαλκᾶς συνέτριψας καὶ μοχλοὺς σιδηροῦς συνέθλασας καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς ἡμῶν διέῤῥηξας.
***ὁ α' χορός*** , Δόξα Πατρί...**Τ**ὸν σωτήριον ὕμνον ᾄδοντες, ἐκ στομάτων ἀναμέλψωμεν, δεῦτε πάντες ἐν οἴκῳ Κυρίου προσπέσωμεν λέγοντες, ὁ ἐπὶ ξύλου σταυρωθείς, καὶ ἐκ νεκρῶν ἀναστὰς καὶ ὢν ἐν κόλποις τοῦ Πατρὸς ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.
Καὶ νῦν... ***Ἦχος β' ,*** Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας, ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.
***Ι.*** Σοφία Ὀρθοί !
Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς, Διὸ ὁ κόσμος σὲ δοξάζει.
***Προκείμενον Ἦχος βαρὺς,*** Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν, σὺ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.
**Στίχ**. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.
**Στίχ**. Καὶ εἶπα· Νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.
**Στίχ**. Ἐμνήσθην τῶν ἔργων Κυρίου.

***Ι.*** Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν. ***Χ.*** Κύριε, ἐλέησον ***(γ'). Ι.*** Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι. ***Χ.*** Καὶ τῷ Πνεύματί σου. ***Ι.*** Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου...Πρόσχωμεν.
**Χ.** Δόξα σοι, Κύριε, δόξα σοι.

***ΤΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΠΑΣΧΑ ,Ἐκ τοῦ κατὰ Ἰωάννην, κ΄ 19 - 25***

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη είς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.

εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν. καθὼς ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω ὑμᾶς. καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα ὁ λεγόμενος Δίδυμος, ούκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

***ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ ΤΗΣ ΑΓΑΠΗΣ ΣΑ ΠΟΝΤΙΑΚΑ***

Ἔτον ἀποβραδὺς ἐκείν΄ τὴν ἡμέραν τῇ Κερεκῆς καὶ τὰ πόρτας ἔτανε σπαλιμένα ἄκεῖ π΄ ἔταν οἱ μαθηταὶ μαζεμὲν, γιατὶ ἐφογοῦνταν τ΄ Ἰουδαίοις· ἔρθεν ὁ Ἰησοῦς κ΄ ἐστάθεν σὴ μὲσ΄ ἀπὲς καὶ λέει ἀτς: «Εἰρήνη μετ΄ ἐσᾶς». Καὶ ὅταν εἶπεν ἀτὸ, ἔδειξεν ἀτς τὰ χ(σσ)έρε ΄τ καὶ τὴν πλευρὰν ἀτ. Ἐχάραν ἀτότε οἱ μαθηταὶ π΄εἴδανε τὸν Κύριον.

Ξὰν εἶπεν ἀτς ὁ Ἰησοῦς: «Εἰρήνη μετ΄ἐσᾶς». Ὅπως ἔστειλέ με ὁ Πατέρα μ΄, ἀραέτς, ἐγὼ πα στέλλω έσᾶς. καὶ ὅταν εἶπεν ἀτὸ, ἐφύσησεν καὶ λέει ἀτς: «ἐπάρετε Πνεῦμα Ἅγιον».ἄν σ΄ὁρισμέντς ἀνθρὼπς συγχωρᾶτε τ΄ ἁμαρτίας, ΄α χάντανε ἀπ΄ ἀτίντς, ἄν ὀξὰν σ΄ ἄλτς ΄κι συγχωρεῖτε, νὰ εἶναι ἀσυγχώρητοι.

Ὁ Θωμᾶς, π΄ ἔτον εἷς ἀσὶ δώδεκα, π΄ ἔλεγαν ἀτὸν Δίδυμον, ΄κ ἔτον μετ΄ἐκείν΄ τς, σίτε ἔρθεν ὁ Ἰησοῦς. ἔλεγαν ἀτὸν οἱ ἄλλ΄οἱ μαθητᾶδες: «εἴδαμ΄ ἀτονε τὸν Κύρ΄ν ἐμουν. Ἀτὸς, ὅμως, εἶπεν ἀτς: «ἐὰν ΄κ ἐλέπω σὰ χ(σσ)έρε τ΄ τὸ σημὰδ΄ ἀσ΄α καρφία, ἀκόμα ΄κι βάλω τὸ δάκτυλον σὰ τρυπία ἀσ΄ α καρφία καὶ ΄κι βάλω τὸ χ(σσ)έρι μ΄ σὴν πλευράν ἀτ,΄κι πιστεύω.

***Ἀγγλιστί [English (en), King James version]***

19 Then the same day at evening, being the first day of the
week, when the doors were shut where the disciples were
assembled for fear of the Jews, came Jesus and stood in the
midst, and saith unto them, Peace be unto you. 20 And when
he had so said, he shewed unto them his hands and his side.
Then were the disciples glad, when they saw the Lord.
21 Then said Jesus to them again, Peace be unto you: as my
Father hath sent me, even so send I you. 22 And when he had
said this, he breathed on them, and saith unto them, Receive
ye the Holy Ghost: 23 Whose soever sins ye remit, they are
remitted unto them; and whose soever sins ye retain, they
are retained.
24 But Thomas, one of the twelve, called Didymus, was not
with them when Jesus came. 25 The other disciples therefore
said unto him, We have seen the Lord. But he said unto them,
Except I shall see in his hands the print of the nails, and put
my finger into the print of the nails, and thrust my hand into
his side, I will not believe.

***Χ.*** Δόξα σοι, Κύριε, δόξα σοι.

***Ι.*** Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν…Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις,... ***Χ.*** Ἀμήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου είς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισον μὲ τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου είς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας των αἰώνων. Ἀμήν.

***Ι.*** Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ…Ὅτι ἀγαθὸς …καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων***.*** ***Χ.*** Ἀμήν***.*** ***Ι.*** +Εἰρήνη πᾶσι. ***Χ.***Καὶ τῷ Πνεύματί σου. ***Ι.*** Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνομεν. ***Χ.*** Σοὶ Κύριε.***Ι.*** Εΐη τὸ κράτος τῆς βασιλείας σου ***…Χ.*** Ἀμήν.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ, ἄπασαν ἐφώτισε τὴν

οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα, παντοδύναμε Κύριε δόξα σοι.
***Εἶτα τὰ Στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν Στίχων αὐτῶν. Ἦχος πλ. α', Στίχ.***
Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται, Πάσχα καινόν, Ἅγιον, Πάσχα μυστικόν, Πάσχα πανσεβάσμιον, Πάσχα Χριστὸς ὁ λυτρωτής, Πάσχα ἄμωμον, Πάσχα μέγα, Πάσχα τῶν πιστῶν, Πάσχα, τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν, Πάσχα, πάντας ἁγιάζον πιστούς.
***Στίχ***. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.
Δεῦτε ἀπὸ θέας Γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· Δέχου παρ´ ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ, τέρπου, χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.
***Στίχ***. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.
Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον, ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε, τοῖς αὐτοῦ Μαθηταῖς.
***Στίχ***. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
Πάσχα τὸ τερπνόν, Πάσχα Κυρίου, Πάσχα, Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε, Πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα, ὦ Πάσχα λύτρον λύπης· καὶ γὰρ ἐκ τάφου σήμερον ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστός, τὰ Γύναια χαρᾶς ἔπλησε λέγων· Κηρύξατε Ἀποστόλοις.
***ὁ β' χορός***, Δόξα Πατρί... ***ὁ α' χορός*** , Καὶ νῦν...***ὁ β' χορός (προσκύνησις Ευαγγελίου, ο ιερέας με τρίκηρο και το Ευαγγέλιο μπροστά στην Ωραια Πύλη, λέγοντας στον καθένα "Χριστός ανέστη") ἦχος ὁ αὐτὸς***
**Ἀ**ναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα´ Εἴπωμεν ἀδελφοί, καὶ τοῖς

μισοῦσιν ἡμᾶς΄ Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν,...***ὁ α' χορός,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***ὁ β' χορός,*** **Χ**ριστὸς ἀνέστη …

***ὁ α' χορός,*** **Χ**ριστὸς ἀνέστη …

***Απόλυσις: Διαλογική·*** «῾Ο ἀναστάς ἐκ νεκρῶν...». ***ὁ Προεξάρχων:*** **πρός τόν λαόν·** «Χριστός ἀνέστη». ***῾Ο Λαός:*** «᾽Αληθῶς ἀνέστη», ***τό αὐτό ἐπαναλαμβάνεται ἄλλας δύο φοράς καί ἀκολούθως ἐκφωνεῖ· ὁ Προεξάρχων: Τό·*** «**Δ**όξα τῇ Αὐτοῦ τριημέρῳ ἐγέρσει». ***῾Ο Λαός: ᾽Αποκρίνεται διά τοῦ·*** «**Π**ροσκυνοῦμεν Αὐτοῦ τήν τριήμερον ἔγερσιν».***ὁ Προεξάρχων: Κατακλείει διά τοῦ·*** «Χριστός ἀνέστη...» ***(ὅλον), καὶ ῾Ο Λαός: ᾽Αντιφωνεῖ·*** «᾽Αληθῶς ἀνέστη ὁ Κύριος».

**Παρασκευή Διακαινησίμου, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

***Ι.*** *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς…* ***Ἦχος πλ. α'*** , **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***Λέγεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ προεξάρχοντος Ἀρχιερέως ἢ Ἱερέως ἄνευ στίχων. Εἶθ' οὕτω λέγει τοὺς ἑπομένους στίχους ὁ προεξάρχων, καθ' ἕκαστον δὲ στίχον ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.***

***Στίχ. α'*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. ***ὁ α'χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***Στίχ. β'.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β'χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***Στίχ. γ'.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α'χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***Στίχ. δ'*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ὁ α'χορὸς.,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

**ὁ α'χορὸς**, Δόξα Πατρί...**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***ὁ β'χορὸς,*** Καὶ νῦν...**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...

***Εἶτα ὁ προεξάρχων, γεγονωτέρᾳ φωνῇ,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας…***ὁ β'χορὸς…*****κ**αὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

***ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ…Ἀντίφωνον α' Ἦχος β'***

***Στίχ.*** **Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. ***ὁ α' χορός ,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. ***ὁ α' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρὶ… Καὶ νῦν…**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον β'Ἦχος ὁ αὐτὸς***

***Στίχ.*** **Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.***ὁ β' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. ***ὁ α' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…

***Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. ***ὁ β' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…

***Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **ὁ α' χορός Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…

Δόξα Πατρί… Καὶ νῦν…***ὁ β' χορός*** **Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, …

***Ἀντίφωνον γ'Ἦχος πλ. α'***

***Στίχ.*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

***ὁ α' χορός,*****Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β' χορός ,*** **Χ**ριστὸς ἀνέστη…

***Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α' χορός,*** **Χ**ριστὸς ἀνέστη…

***Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ὁ β' χορός,*** **Χ**ριστὸς ἀνέστη…

***Εἰσοδικὸν (το ψάλλουν <u>οι</u> ιερεις ή ο χορός),*** **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι΄ **Ἀ**λληλούϊα.

***Εἶτα τὸ,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…***(ἐκ γ').***

***ὁ β' χορός Ἡ Ὑπακοὴ ͂Ηχος δ'*** , **Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον, ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

***Ἀπολυτίκιον ͂Ηχος α'***

῾Ο ναός σου, Θεοτόκε, ἀνεδείχθη παράδεισος, ὡς ποταμούς ἀειζώους, ἀναβλύζων ἰάματα· ᾧ προσερχόμενοι πιστῶς, ὡς Ζωοδόχου ἐκ Πηγῆς, ῥῶσιν ἀντλοῦμεν, καί ζωήν τήν αἰώνιον· πρεσβεύεις γάρ σύ, τῷ ἐκ σοῦ τεχθέντι Σωτῆρι Χριστῷ, σωθῆναι τάς ψυχάς ἡμῶν.

***ὁ α' χορός, Κοντάκιον ͂Ηχος πλ. δ'*** , **Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

***Ἀντὶ δὲ τοῦ Τ ρ ι σ α γ ί ο υ, ͂Ηχος α',*** **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, **Ἀ**λληλούϊα. ***΄Απόστολος Παρασκευῆς τῆς Διακαινησίμου· (Πράξ. γ΄1-8)., Προκείμενον ͂Ηχος δ'***

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε΄πάντα ἐν σοφίᾳ ἐποίησας.

***Στίχ***. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα

Ἐν ταῖς ἡμεραῖς ἐκείναις, Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. Καί τις ἀνὴρ χωλὸς, ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν καθ΄ ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν

εἰσπορευομένων εἰς τὸ ἱερόν· ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν ἠρώτα ἐλεημοσύνην. Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ εἶπε· Βλέψον εἰς ἡμᾶς. Ὁ δὲ ἐπεῖχεν αὐτοῖς προσδοκῶν τι παρ᾽ αὐτῶν λαβεῖν. Εἶπε δὲ Πέτρος· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειρε καὶ περιπάτει. Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε· παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά, καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει, καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν περιπατῶν καὶ ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν.
***...Εἰς τὸ Ἐξαιρέτως,ὁ α΄χορὸς,Ἦχος α΄ ,Στίχ.* Ὁ**Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου.
**Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.
***Κοινωνικὸν ,ὁ β΄ χορός ,Ἦχος α',* Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε***. Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» ***καὶ τοῦ*** «**Ε**ἴη τὸ ὄνομα Κυρίου εὐλογημένον...» ***λέγεται τό,*** Χριστὸς ἀνέστη.***᾽Απόλυσις: Διαλογική·*** «Ὁ ἀναστάς ἐκ νεκρῶν...». **ὁ Προεξάρχων:** ***πρός τόν λαόν·*** «Χριστός ἀνέστη». **Ὁ Λαός:** «*᾽Αληθῶς ἀνέστη*», ***τό αὐτό ἐπαναλαμβάνεται ἄλλας δύο φοράς καί ἀκολούθως ἐκφωνεῖ·ὁ Προεξάρχων:*** **Τό·** «Δόξα τῇ Αὐτοῦ τριημέρῳ ἐγέρσει».***Ὁ Λαός: ᾽Αποκρίνεται διά τοῦ·*** «Προσκυνοῦμεν Αὐτοῦ τήν τριήμερον ἔγερσιν». **ὁ *Προεξάρχων:* Κατακλείει διά τοῦ·** «Χριστός ἀνέστη...» (***ὅλον***), ***καί*** **Ὁ Λαός: *᾽Αντιφωνεῖ·* «**᾽Αληθῶς ἀνέστη ὁ Κύριος».

**ΚΥΡΙΑΚΗ ΤΟΥ ΑΝΤΙΠΑΣΧΑ (τοῦ ΘΩΜΑ)**, ***Εἰς τὴν Λειτουργίαν, Μετά τό· «Εὐλογημένη ἡ βασιλεία...» ψάλλεται τό·*** «**Χ**ριστός ἀνέστη...», ***τρίς, ἅπαξ ἀπό τοῦ Ἱεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν.***
***Ἀντίφωνον α΄, Ἦχος β΄, ὁ α΄ χορός, Στίχ.*** **Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β΄ χορός, Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός, Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός, Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός,*** Δόξα Πατρί... ***ὁ β' χορός ,*** Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β'****,* ***Ἦχος ὁ αὐτὸς****,* ***ὁ β' χορός****,* ***Στίχ.***

**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β' χορός, Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ α' χορός, Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β' χορός****,* Δόξα Πατρί... Καὶ νῦν...**Ὁ Μονογενὴς** Υἱὸς ...

***Ἀντίφωνον γ'****,* ***Ἦχος πλ. α'****,* ***ὁ α' χορός, Στίχ.***

**Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***ὁ β' χορός, Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...

**ὁ α' χορός, Στίχ.** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη...

***ὁ β' χορός, Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη...

***Εἰσοδικὸν****,* ***ὁ α' χορός,***

**Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,...***ὁ β' χορός***...ψάλλοντάς σοι. **Ἀ**λληλούϊα.

***Εἶτα ὁ α' χορός,Ἀπολυτίκιον ᾯχος βαρὺς***, Ἐσφραγισμένου τοῦ μνήματος ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός, καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

…………………………………………………..

***23-4 το απολυτίκιον του Αγίου***

…………………………………………………

***ὁ α' χορός, Κοντάκιον ᾯχος πλ. δ'***

**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

**Τρισάγιον᾽*Ἀπόστολος, Προκείμενον, ᾯχος γ'***

**Μ**έγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

***Στίχ.*** **Α**ἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

**Ἐ**ν ταῖς ἡμεραῖς ἐκείναις, διὰ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά· καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος· τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς͵ ἀλλ΄ ἐμεγάλυνεν αὐτοὺς ὁ λαός· μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν͵ ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάττων͵ ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων Ἱερουσαλήμ͵ φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων͵ οἵτινες ἐθεραπεύοντο ἅπαντες. Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ͵ ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων͵ ἐπλήσθησαν ζήλου καὶ ἐπέβαλον τὰς χεῖρας ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπε΄ Πορεύεσθε καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.

……………………………………………………

***23-4 ο Απόστολος του Αγίου Γεωργίου***

……………………………………………………

***...ὁ α' χορός, Εἰς τό ᾿Εξαιρέτως, ῾Ο Εἰρμός τῆς θ΄ ᾠδῆς τοῦ Κανόνος τῆς ῾Εορτῆς·, ῏Ηχος α'***

**Σ**ὲ τὴν φαεινὴν λαμπάδα, καὶ Μητέρα του Θεοῦ, τὴν ἀρίζηλον δόξαν καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων ἐν ὕμνοις μεγαλύνομεν**.**

***...ὁ β' χορός, Κοινωνικόν, ῏Ηχος α'***

**᾿Ε**παίνει, Ἱερουσαλήμ, τόν Κύριον, αἴνει τόν Θεόν σου, Σιών. **Ἀ**λληλούϊα.

***ὁ α' χορός, Ἀντὶ τοῦ «Ε****ἴδομεν τὸ φῶς...»* ***ψάλλει τό,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***αντί του*** *"δι'ευχων…"* ***λέμε*** *"Χριστός ανέστη…"****και ο χορός*:** **"**αληθως ανέστη ο Κύριος".

**ΠΕΜΠΤΗ 23 ΑΠΡΙΛΙΟΥ.** ***Εἰς τὴν Λειτουργίαν, Μετά τό·*** «Εὐλογημένη ἡ βασιλεία...» ***ψάλλεται τό·*** «**Χ**ριστός ἀνέστη...», ***τρίς, ἅπαξ ἀπό τοῦ ῾Ιεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν.Ἀντίφωνον α', ῏Ηχος β', ὁ α' χορός, Στίχ.***

**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός, Στίχ*****.** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός, Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός, Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός,*** Δόξα Πατρί... ***ὁ β' χορός ,*** Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β', ῏Ηχος ὁ αὐτὸς, ὁ β' χορός, Στίχ.***

**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β′ χορός, Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ α′ χορός, Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β′ χορός***, Δόξα Πατρί... Καὶ νῦν...**Ὁ Μονογενὴς** Υἱὸς ...

***Ἀντίφωνον γ', Ἦχος πλ. α', ὁ α′ χορός, Στίχ.***

**Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***ὁ β′ χορός, Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...

**ὁ α′ χορός, Στίχ. Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη...

***ὁ β′ χορός, Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη...

***Εἰσοδικὸν, ὁ α′ χορός,***

**Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,...***ὁ β′ χορός***...ψάλλοντάς σοι. **Ἀ**λληλούϊα.

***Εἶτα ὁ α′ χορός,Ἀπολυτίκιον Ἦχος βαρὺς***, **Ἐ**σφραγισμένου τοῦ μνήματος ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός, καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

***Τὸ Ἀπολυτίκιον τοῦ ἁγίου. Ἦχος δ΄. Αὐτόμελον.***

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

<u>**Εἶτα τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ.**</u> ***Κοντάκιον τῆς ἑορτῆς (ἀπὸ Δευτέρας τοῦ Θωμᾶ μέχρι τοῦ Σαββάτου). Ἦχος πλ. δ΄. Αὐτόμελον.***

Τῇ φιλοπράγμονι δεξιᾷ * τὴν ζωοπάροχόν σου πλευρὰν * ὁ Θωμᾶς ἐξηρεύνησε, * Χριστὲ ὁ Θεός˙ * συγκεκλεισμένων γὰρ

τῶν θυρῶν * ὡς εἰσῆλθες, * σὺν τοῖς λοιποῖς ἀποστόλοις ἐβόα σοι· * Κύριος ὑπάρχεις καὶ Θεός μου.

**<u>ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ</u>**. ***ΑΠΟΣΤΟΛΟΣ. Τοῦ ἁγίου (Πρξ. ιβ´ 1-11). (Ζήτει τῷ Σαββάτῳ τῆς Δ´ ἑβδ. τῶν Πράξεων). Προκείμενον. Ἦχος βαρύς. (Ψαλμὸς ξγ´).***

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

***Στίχ***. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων· ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ Πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ. Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσι δυσί, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. Καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου ἤγειρεν αὐτὸν λέγων· Ἀνάστα ἐν τάχει. Καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· Περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Ἐποίησε δὲ οὕτω. Καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι. Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου, ἐδόκει δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς, καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ᾽ αὐτοῦ. Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ εἶπε· Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρῴδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

***...Κοινωνικόν.*** Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

***Μετὰ τὴν μετάδοσιν, ἀντὶ τοῦ· Εἴδομεν...Ἦχος πλ. α΄.***Χριστὸς ἀνέστη ἐκ νεκρῶν, …

**ΚΥΡΙΑΚΗ Γ' από το Πάσχα, των Μυροφόρων, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Μετά τό· «Εὐλογημένη ἡ βασιλεία...» ψάλλεται τό· «Χριστός ἀνέστη...», τρίς, ἅπαξ ἀπό τοῦ ῾Ιεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν. Ἀντίφωνον α', Ἦχος β',ὁ α' χορός,Στίχ.***

**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός,Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός,Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ, Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός,Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός,*** Δόξα Πατρὶ... ***ὁ β' χορός ,*** Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β',Ἦχος ὁ αὐτὸς,ὁ β' χορός,Στίχ.***

**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***ὁ α' χορός,Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β' χορός,Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ α' χορός,Στίχ.*** , **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β' χορός***, Δόξα Πατρὶ... Καὶ νῦν...**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος ...

***Ἀντίφωνον γ',Ἦχος πλ. α',ὁ α' χορός,Στίχ.***

**Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
***ὁ β' χορός,Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...
***ὁ α' χορός,Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη...
***ὁ β' χορός,Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη...
***Εἰσοδικὸν,ὁ α' χορός,*** **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,... ***ὁ β' χορός,*** ...ψάλλοντάς σοι΄ Ἀλληλούϊα.
***Εἶτα , ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος β',*** **Ὅ**τε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς θεότητος, ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον. Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.
***ὁ β' χορὸς,*** **Ὁ** εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ, εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο, ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.
***ὁ α' χορὸς,*** **Τ**αῖς μυροφόροις γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα. Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος ἀλλὰ κραυγάσατε, ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

.................................................

***8-5, Ἀπολυτίκιον, Ἦχος β'***
Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον, ῥῦσαι λαὸν ἀναπολόγητον· δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος, ὃν ἱκέτευε, Θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

.................................................

***ὁ β' χορὸς, τὸ ἀπολυτίκιον τοῦ <u>Ναοῦ</u>,***
***ὁ α' χορὸς „Κοντάκιον Ἦχος β' ,*** **Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος,

Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

***Τρισάγιον*, Ἀπόστολος,Κυριακῆς Γ΄ τῶν Πράξεων· (Πράξ. ς΄ 1-7).,Προκείμενον ἦχος β'.**

**Ἰ**σχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.

***Στίχ.* Π**αιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

**Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα**

**Ἐ**ν ταῖς ἡμεραῖς ἐκείναις, πληθυνόντων τῶν μαθητῶν ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους͵ ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν εἶπαν͵ Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις· ἐπισκέψασθε δέ͵ ἀδελφοί͵ ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ πλήρεις πνεύματος καὶ σοφίας͵ οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους͵ καὶ ἐξελέξαντο Στέφανον͵ ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου͵ καὶ Φίλιππον καὶ Πρόχορον καὶ Νικάνορα καὶ Τίμωνα καὶ Παρμενᾶν καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα͵ οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων͵ καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. Καὶ ὁ λόγος τοῦ θεοῦ ηὔξανεν͵ καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἰερουσαλὴμ σφόδρα͵ πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει.

……………………………………………

***8-5, Ἀπόστολος τοῦ Εὐαγγελιστοῦ (Καθολικ. Α΄ Ἰωάνν. α΄ 1-7).Προκείμενον. Ἦχος πλ. δ΄***

**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. ***Στίχ*. Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. ***Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα***

**Ὃ** ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, …

……………………………………………

***…Είς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς,Ἦχος α',Στίχ.* Ὁ**῞Αγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· ῾Αγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου. **Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

***...ὁ β' χορὸς,Κοινωνικὸν, εἰς ἦχον β',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

***Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» ***ψάλλει ὁ α'χορὸς τό,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**ΚΥΡΙΑΚΗ Δ' από το Πάσχα,** ***του Παραλύτου, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Μετά τό· «Εὐλογημένη ἡ βασιλεία...» ψάλλεται τό·*** «Χριστός ἀνέστη...»***, τρίς, ἅπαξ ἀπό τοῦ Ἱεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν. Ἀντίφωνον α', Ἦχος β',ὁ α' χορός,Στίχ.***

**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός,Στίχ.,*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός,Στίχ.,*** **Ε**ἴπατε τῷ Θεῷ, Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός,Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός,*** Δόξα Πατρὶ... ***ὁ β' χορός*** , Καὶ νῦν... **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β', Ἦχος ὁ αὐτὸς,ὁ β' χορός,Στίχ.***

**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***ὁ α' χορός,Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β' χορός,Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ α' χορός,Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β' χορός,*** Δόξα Πατρὶ... Καὶ νῦν... **Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος ...

***Ἀντίφωνον γ', Ἦχος πλ. α',ὁ α' χορός,Στίχ.***

**Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***ὁ β' χορός,Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...

***ὁ α' χορός,Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου

τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη...

***ὁ β’ χορός,Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη...

***Εἰσοδικὸν,ὁ α’ χορός,***

**Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,...***ὁ β’ χορός,*** ...ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***Εἶτα , ὁ α’ χορός,Ἀπολυτίκιον Ἦχος γ, '***

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος, ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας Ἅδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***ὁ β’ χορὸς, τὸ ἀπολυτίκιον τοῦ Ναοῦ, ὁ α’ χορὸς, Κοντάκιον Ἦχος β'***

**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι **παρέχων ἀνάστασιν.** **Τρισάγιον**,***᾽Απόστολος,Κυριακῆς δ΄ τῶν Πράξεων· (Πράξ. θ΄ 32-42). Προκείμενον ἦχος γ’.***

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.

***Στίχ.*** Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Ἐν ταῖς ἡμεραῖς ἐκείναις, ἐγένετο Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν. Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάττῳ, ὃς ἦν παραλελυμένος. Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος΄ Αἰνέα, ἰᾶταί σε ᾽Ιησοῦς Χριστός· ἀνάστηθι καὶ στρῶσον σεαυτῷ. Καὶ εὐθέως ἀνέστη. Καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. ᾽Εν ᾽Ιόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ [αὐτὴν] ἔθηκαν ἐν ὑπερῴῳ. Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ ᾽Ιόππῃ οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν παρακαλοῦντες, μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. Ἀναστὰς

δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ Δορκάς. Ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος καὶ θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπεν, Ταβιθά, ἀνάστηθι. Ἡ δὲ ἤνοιξεν τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. Δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτήν, φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν ζῶσαν. Γνωστὸν δὲ ἐγένετο καθ᾽ ὅλης [τῆς] ᾿Ιόππης, καὶ ἐπίστευσαν πολλοὶ ἐπὶ τὸν Κύριον....

***Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς,Ἦχος α',Στίχ.* Ὁ**Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· ῾Αγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου. **Συμφώνως** Παρθένε, σὲ μακαρίζομεν πιστοί, Χαῖρε πύλη Κυρίου, χαῖρε πόλις ἔμψυχε, χαῖρε, δι' ἧς ἡμῖν ἔλαμψε, σήμερον φῶς τοῦ ἐκ σοῦ τεχθέντος, τῆς ἐκ νεκρῶν ἀναστάσεως.

***ὁ β' χορὸς,Κοινωνικὸν ,εἰς ἦχον β',* Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

***Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» ***ψάλλει ὁ α'χορὸς τό,,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**ΚΥΡΙΑΚΗ Ε' από το Πάσχα, *της Σαμαρείτιδος, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Μετά τό· «Εὐλογημένη ἡ βασιλεία...» ψάλλεται τό·*** «Χριστός ἀνέστη...», ***τρίς, ἅπαξ ἀπό τοῦ ῾Ιεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν.***

***Ἀντίφωνον α', Ἦχος β',ὁ α' χορός,Στίχ.* Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός,Στίχ.,* Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός,Στίχ.,*** **Ε**ἴπατε τῷ Θεῷ, Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ β' χορός,Στίχ.* Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορός*,** Δόξα Πατρὶ... ***ὁ β' χορός*** **,** Καὶ νῦν**...Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β',Ἦχος ὁ αὐτὸς,ὁ β’ χορός,Στίχ.***

**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***ὁ α’ χορός,Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β’ χορός,Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ α’ χορός,Στίχ.*** , **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...

***ὁ β’ χορός***, Δόξα Πατρὶ... Καὶ νῦν...**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος ...

***Ἀντίφωνον γ',Ἦχος πλ. α',ὁ α’ χορός,Στίχ***. **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***ὁ β’ χορός,Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...

***ὁ α’ χορός,Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη...

***ὁ β’ χορός,Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη...

***Εἰσοδικὸν,ὁ α’ χορός***, **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,...***ὁ β’ χορός***, ...ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***Εἶτα , ὁ α’ χορός, , Ἀπολυτίκιον Ἦχος δ'.***

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***Τῆς ἑορτῆς τῆς Μεσοπεντηκοστῆς. Ἦχος πλ. δ΄.***

Μεσούσης τῆς Ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι.

***ὁ β' χορὸς, τὸ ἀπολυτίκιον τοῦ <u>Ναοῦ</u>, ὁ α' χορὸς, Κοντάκιον ᾿Ηχος β'***

**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι **παρέχων ἀνάστασιν.**

***<u>Τρισάγιον</u>,᾿Απόστολος,Κυριακῆς της Σαμαρείτιδος(Πράξ. θ΄ 32-42). Προκείμενον. ᾿Ηχος δ΄.***

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

***Στίχ. α΄.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. ***(Πρξ. ια΄ 19-30)***

Ἐν ταῖς ἡμέραις ἐκείναις, διασπαρέντες οἱ ἀπόστολοι ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις. Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς Ἀντιόχειαν ἐλάλουν πρὸς τοὺς Ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν. Καὶ ἦν χεὶρ Κυρίου μετ᾿ αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον. Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας· ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ, ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος Ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ. Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον, καὶ εὑρὼν αὐτὸν ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν. Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς

Χριστιανούς. Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν· ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος ἐσήμανε διὰ τοῦ Πνεύματος λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ᾿ ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος. Τῶν δὲ μαθητῶν καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς· ὃ καὶ ἐποίησαν ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου.

***...Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς,Ἦχος α',Στίχ.*** **Ὁ**῞Αγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· ῾Αγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου. Εὐφραίνου, ἀγάλλου, ἡ θεία πύλη τοῦ φωτός· ὁ γὰρ δύνας ἐν τάφῳ, Ἰησοῦς ἀνέτειλε, λάμψας ἡλίου φαιδρότερον, καὶ τοὺς πιστοὺς πάντας καταυγάσας, θεοχαρίτωτε Δέσποινα.
***...ὁ β' χορὸς,Κοινωνικὸν ,εἰς ἦχον β',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.
***Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» ***ψάλλει ὁ α'χορὸς τό,,*** **Χ**ριστὸς ἀνέστη ἐκ …

**ΚΥΡΙΑΚΗ στ' από το Πάσχα, του Τυφλου, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,** Μετά τό· «**Ε**ὐλογημένη ἡ βασιλεία...» ψάλλεται τό· «Χριστός ἀνέστη...», τρίς, ἅπαξ ἀπό τοῦ ῾Ιεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν.***Ἀντίφωνον α', Ἦχος β',ὁ α' χορός,Στίχ.***
**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β' χορός,Στίχ.,*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορός,Στίχ.,*** **Ε**ἴπατε τῷ Θεῷ, Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ β' χορός,Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου ῞Υψιστε. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορός,*** Δόξα Πατρὶ... ***ὁ β' χορός*** , Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον β',Ἦχος ὁ αὐτὸς,ὁ β' χορός,Στίχ.***

**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.
***ὁ α' χορός,Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...
***ὁ β' χορός,Στίχ.,*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...
***ὁ α' χορός,Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...
***ὁ β' χορός,*** Δόξα Πατρὶ... Καὶ νῦν...**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος ...
***Ἀντίφωνον γ',Ἦχος πλ. α',ὁ α' χορός,Στίχ.*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
***ὁ β' χορός,Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...
***ὁ α' χορός,Στίχ.*** , **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.**Χ**ριστὸς ἀνέστη...
***ὁ β' χορός,Στίχ.*** , **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.**Χ**ριστὸς ἀνέστη...
***Εἰσοδικὸν,ὁ α' χορός.*** **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,... ***ὁ β' χορός,*** ...ψάλλοντάς σοι΄ Ἀλληλούϊα.
***Εἶτα , ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος πλ. α'***
**Τ**ὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν, ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.
……………………………………………………
***21-5 το απολυτίκιον των αγίων Κωνσταντίνου και Ελένης, και ο Απόστολος των Αγίων, Ἦχος δ'***
**Τ**οῦ Σταυροῦ σου τὸν τύπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν

βασιλεῦσιν, Ἀπόστολός σου Κύριε, Βασιλεύουσαν πόλιν τῇ χειρί σου παρέθετο, ἣν περίσωζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.

……………………………………………

***ὁ β' χορὸς, τὸ ἀπολυτίκιον τοῦ*** ***<u>Ναοῦ</u>,***
***ὁ α' χορὸς, Κοντάκιον Ἦχος β' ,*** **Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.
**<u>Τρισάγιον</u>,''*Απόστολος Ϛ´ Κυριακῆς Πράξεων· (Πράξ. ις´ 16-34).*, *Προκείμενον ἦχος πλ.α'***
**Σ**ύ, Κύριε, φυλάξαις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς.
***Στίχ.*** **Σ**ῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.
**Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.**
**Ἐ**ν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο πορευομένων ἡμῶν *(τῶν Ἀποστόλων)* εἰς τὴν προσευχὴν παιδίσκην τινὰ ἔχουσαν πνεῦμα πύθωνα ἀπαντῆσαι ἡμῖν͵ ἥτις ἐργασίαν πολλὴν παρεῖχεν τοῖς κυρίοις αὐτῆς μαντευομένη. Αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ τῷ Σίλᾳ *(καὶ ἡμῖν)* ἔκραζε λέγουσα´ Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν͵ οἵτινες καταγγέλλουσιν ὑμῖν ὁδὸν σωτηρίας. Τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. Διαπονηθεὶς δὲ Παῦλος καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπεν´ Παραγγέλλω σοι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ´ αὐτῆς. Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας͵ καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς εἶπον´ Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν Ἰουδαῖοι ὑπάρχοντες͵ καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν **Ῥ**ωμαίοις οὖσι. Καὶ συνεπέστη ὁ ὄχλος κατ´ αὐτῶν. Καὶ οἱ στρατηγοὶ περιῤῥήξαντες αὐτῶν τὰ ἱμάτια ἐκέλευον ῥαβδίζειν͵ πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς ἔβαλον εἰς φυλακήν͵ παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς· ὃς παραγγελίαν τοιαύτην εἰληφὼς ἔβαλεν

αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν΄ ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου͵ ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι καὶ πάντων τὰ δεσμὰ ἀνέθη. Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς͵ σπασάμενος μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναιρεῖν͵ νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους. Ἐφώνησεν δὲ Παῦλος μεγάλῃ φωνῇ λέγων΄ Μηδὲν πράξῃς σεαυτῷ κακόν͵ ἅπαντες γάρ ἐσμεν ἐνθάδε. Αἰτήσας δὲ φῶτα εἰσεπήδησεν͵ καὶ ἔντρομος γενόμενος προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ͵ καὶ προαγαγὼν αὐτοὺς ἔξω ἔφη΄ Κύριοι͵ τί με δεῖ ποιεῖν ἵνα σωθῶ; Οἱ δὲ εἶπον΄ Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν͵ καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς ἔλουσεν ἀπὸ τῶν πληγῶν͵ καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα͵ ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον παρέθηκεν τράπεζαν͵ καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ.

………………………………………

***21-5 ο Απόστολος των αγίων***

………………………………………

***…Εἰς τὸ Ἐξαιρέτως,ὁ α' χορὸς ,ἦχος α'***

**Ὁ**Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου. **Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, **ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.**

***...ὁ β' χορὸς,Κοινωνικὸν ,εἰς ἦχον β',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε. ***Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» ***ψάλλει ὁ α'χορὸς τό,,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**21-5. Πέμπτη της Αναλήψεως του Σωτηρος, *ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ*, *Ἀντίφωνον α'*, *Ἦχος β'* , *ὁ α' χορός*, *Στίχ. α'***
**Π**άντα τὰ ἔθνη κροτήσατε χεῖρας ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β' χορόςΣτίχ. β'*** **Ὅ**τι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορός, Στίχ. γ'*** **Ὑ**πέταξας λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
Δόξα Πατρὶ... Καὶ νῦν... **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον β'*, *Ὁ αὐτὸς*, *Στίχ. α'*.**
**Μ**έγας Κύριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν είς τοὺς οὐρανούς, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορὸς*, *Στίχ. β'*.** **Ὁ** Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ...
***ὁ β' χορὸς, Στίχ. γ'*.** **Ὅ**τι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, ἤλθοσαν ἐπὶ τὸ αὐτό. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ...
***ὁ α' χορός*** , Δόξα Πατρί... ***ὁ β' χορός*,** Καὶ νῦν...**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ…
***Ἀντίφωνον γ'*,*Ἦχος δ'* ,*ὁ α' χορός*, *Στίχ. α'*** **Ἀ**κούσατε ταῦτα πάντα τὰ ἔθνη.
***Ἀπολυτίκιον Ἦχος δ'*,** Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.
***ὁ β' χορός, Στίχ. β'*** **Τ**ὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. **Ἀ**νελήφθης ἐν δόξῃ...
***ὁ α' χορός, Στίχ. γ'*.** **Κ**λινῶ είς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. **Ἀ**νελήφθης ἐν δόξῃ...
***Εἰσοδικὸν ὁ α' χορός***
**Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ Κύριος ἐν φωνῇ σάλπιγγος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν είς τοὺς οὐρανούς... ***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορός*, *Ἀπολυτίκιον Ἦχος δ'*,** Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν,...

Δόξα... ***Τοῦ Μηναίου. Ἦχος πλ. δ΄.*** Τοῦ Σταυροῦ σου τὸν τὺπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν βασιλεῦσιν Ἀπόστολός σου Κύριε, Βασιλεύουσαν πόλιν τῇ χειρί σου παρέθετο· ἣν περίσῳζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.

***ὁ β' χορὸς,Κοντάκιον Αὐτόμελον - Ἦχος πλ. β'***

**Τ**ὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε, Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

**Τρισάγιον**, ***ΑΠΟΣΤΟΛΟΣ. Προκείμενον. Ἦχος πλ. δ΄.***

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

***Στίχ. α΄.*** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

***Στίχ. β΄.*** Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. ***(κϛ΄ 1, 12-20).***

Ἐν ταῖς ἡμέραις ἐκείναις, Ἀγρίππας ὁ βασιλεὺς πρὸς τὸν Παῦλον ἔφη· Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ Παῦλος ἐκτείνας τὴν χεῖρα ἀπελογεῖτο. Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ᾽ ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων, ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους· πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν ἤκουσα φωνὴν λαλοῦσαν πρός με καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ Σαούλ, τί με διώκεις; Σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Ἐγὼ δὲ εἶπον· Τίς εἶ, Κύριε; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις. Ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ

λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ, ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας καὶ τοῖς ἔθνεσιν ἀπαγγέλλω μετανοεῖν καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.

…***Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς,ᾠδὴ θ'  Ὁ εἰρμὸς ἦχος πλ. α'***
**Σ**ὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν**.**

***…ὁ β' χορὸς, Κοινωνικὸν ,ἦχος δ' ,*** **Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, **Ἀ**λληλούϊα**…*Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς…» , ***ὁ α' χορὸς ψάλλει τό, Ἀπολυτίκιον Ἦχος δ'***, **Ἀ**νελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, …

**Ζ΄ΚΥΡΙΑΚΗ, ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον Α', Ἦχος β' , ὁ α' χορὸς , Στίχ. α'.***
**Π**άντα τὰ ἔθνη κροτήσατε χεῖρας ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β' χορὸς, Στίχ. β'.*** **Ὅ**τι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***ὁ α' χορὸς,Στίχ. γ'.*** **Ὑ**πέταξας λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
Δόξα Πατρί… Καὶ νῦν… **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
***Ἀντίφωνον Β',Ὁ αὐτὸς,Στίχ. α'.***
**Μ**έγας Κύριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ αναστάς εκ νεκρων, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορὸς,Στίχ. β'.*** **Ὁ** Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ…

***ὁ β΄ χορὸς,Στίχ. γ'.*** **Ὅ**τι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, ἤλθοσαν ἐπὶ τὸ αὐτό. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ...
***ὁ α΄ χορὸς,*** Δόξα Πατρὶ... ***ὁ β΄ χορός,*** Καὶ νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων.Ἀμήν. **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ...
***Ἀντίφωνον Γ',Ἦχος δ' ,ὁ α΄ χορὸς,Στίχ. α'.***
**Ἀ**κούσατε ταῦτα πάντα τὰ ἔθνη.
Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.
***ὁ β΄ χορὸς, Στίχ. β'.*** **Τ**ὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. **Ἀ**νελήφθης ἐν δόξῃ...
***ὁ α΄ χορὸς, Στίχ. γ'.*** **Κ**λινῶ είς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. **Ἀ**νελήφθης ἐν δόξῃ...
***Εἰσοδικὸν, ὁ α΄ χορός,***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν είς τοὺς οὐρανούς,... ***ὁ β΄ χορὸς***...ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α΄ χορός, Ἀπολυτίκιον. Ἦχος πλ. β΄***
**Ἀ**γγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν, καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τὸν ᾅδην, μὴ πειρασθεὶς ὑπ᾽ αὐτοῦ, ὑπήντησας τῇ παρθένῳ, δωρούμενος τὴν ζωήν, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.
***ὁ β΄ χορός, Τῆς Ἑορτῆς Ἦχος δ',*** **Ἀ**νελήφθης ἐν δόξῃ, Χριστὲ …
***ὁ α΄ χορός, τῶν Πατέρων Ἦχος πλ. δ'***
**Ὑ**περδεδοξασμένος εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν, πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε, δόξα σοι.
***ὁ β΄ χορός, Τοῦ Ναοῦ,***
***ὁ α΄ χορός, κοντάκιον τῆς Ἀναλήψεως ,Ἦχος πλ. β'***

**Τ**ὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε, Ἐγὼ εἰμι μεθ' ὑμῶν**,** καὶ οὐδεὶς καθ' ὑμῶν.

***<u>Τρισάγιον</u>, Ἀπόστολος, Κυριακῆς ζ´ τῶν Πράξεων· (Πράξ. Κ'16-18, 28-36 ). Ὠιδὴ τῶν Πατέρων***

**Ε**ὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

***Στίχ.*** **Ὅ**τι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα

**Ἐ**ν ταῖς ἡμέραις ἐκείναις, ἔκρινεν ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον͵ ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ´ ἔσπευδε γὰρ εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα. Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. Ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν εἶπεν αὐτοῖς´ Προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ͵ ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους͵ ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Κυρίου καὶ Θεοῦ͵ ἣν περιεποιήσατο διὰ τοῦ ιδίου αἵματος. Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς μὴ φειδόμενοι τοῦ ποιμνίου´ καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. Διὸ γρηγορεῖτε͵ μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον. Καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοί, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν. Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα· αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ´ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται.

Πάντα ὑπέδειξα ὑμῖν ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε΄ Μακάριόν ἐστιν μᾶλλον διδόναι ἢ λαμβάνειν. Καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς προσηύξατο.

***...Ἀντὶ τοῦ «Εἴδομεν τὸ φῶς...» λέγεται τό,Τῆς Ἑορτῆς  Ἦχος δ' ,*** **Ἀ**νελήφθης ἐν δόξῃ, Χριστὲ ...

**Ψυχοσάββατον,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον α',Ἦχος β' ὁ α' χορὸς***

***Στίχ. α'.*** **Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***ὁ β'χορὸςΣτίχ. β'.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***ὁ α' χορὸς Στίχ. γ'.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρὶ... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β,'ὁ β'χορὸςΣτίχ. α'.***

**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορὸς, Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...

***ὁ β'χορὸς, Στίχ. γ'.*** Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...

***ὁ α' χορὸς...*** Δόξα Πατρὶ...***ὁ β' χορὸς,*** Καὶ νῦν...**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, ...

***Ἀντίφωνον γ' ὁ α' χορὸς Στίχ.α'.***

**Μ**ακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου Κύριε καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου, ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.

***ὁ β'χορὸς,Στίχ.β'.*** **Α**ἱ ψυχαὶ αὐτῶν, ἐν ἀγαθοῖς αὐλισθήσονται. Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν,...

***ΕΙΣΟΔΟΣ, ὁ α' χορὸς,*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,...***ὁ β'χορὸς***...**ψ**άλλοντάς σοι΄ Ἀλληλούϊα.

***ὁ α' χορὸς,*** Ὁ βάθει σοφίας φιλανθρώπως ...

***ὁ β'χορὸςΤοῦ Ναοῦ, ὁ α' χορὸς Κοντάκιον ͂Ηχος πλ. δ'***

**Μ**ετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

***Τρισάγιον.᾿Απόστολος Προκείμενον ͂Ηχος πλ. β'***

**Α**ἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

***Στίχ.*** **Π**ρὸς σὲ Κύριε κεκράξομαι ὁ Θεὸς μου.

Πρὸς Θεσσαλονικεῖς Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

**Ἀ**δελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μή λυπῆσθε καθώς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεός τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ Κύριος, ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ, καταβήσεται ἀπ' οὐρανοῦ καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν

νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.
***…Κοινωνικόν, ὁ β' χορός***
**Μ**ακάριοι, οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε, καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.
***…(στο πρό της Πεντηκοστης Σάββατο ἀντὶ τοῦ*** Εἴδομεν τὸ φῶς,***τὸ τροπάριον*** «Ὁ βάθει σοφίας» **ἤ** ***Ἦχος β΄.*** Μνήσθητι εὔσπλαγχνε καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ Λῃστοῦ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν***.)***
***…ἦχος β'…*Ε**ἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (***Τρίς***).
***καὶ ψάλλονται τά παρόντα Τροπάρια· Ἦχος δ', ὁ α' χορὸς,*** **Μ**ετὰ πνευμάτων δικαίων, τετελειωμένων, τὰς ψυχὰς τῶν δούλων σου, Σῶτερ ἀνάπαυσον, φυλάττων αὐτάς, εἰς τὴν μακαρίαν ζωήν, τὴν παρὰ σοὶ φιλάνθρωπε.
***ὁ β' χορὸς,*** **Ε**ἰς τὴν κατάπαυσίν σου Κύριε, ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν δούλων σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.
***ὁ α' χορὸς ,*** Δόξα Πατρί…**Σ**ὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ καταβὰς εἰς Ἅδην καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων, αὐτὸς καὶ τὰς ψυχὰς τῶν δούλων σου Σῶτερ ἀνάπαυσον.
***ὁ β' χορὸς,*** Καὶ νῦν… ***Θεοτοκίον*** **Ἡ** μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.
***τελεῖται δὲ τό μνημόσυνον τῶν κεκοιμημένων ὡς ἑξῆς:***
***ὁ Διάκονος:*** **Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, …

**Κυριακή της Πεντηκοστης,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α', Ἦχος β',Στίχ.***
**Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.
***ὁ α' χορὸς,*** Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχ.*** **Ἡ**μέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. ***ὁ β' χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Στίχ.*** **Ο**ὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ***ὁ α' χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου.

***Στίχ.*** **Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ***ὁ β' χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρὶ... Καὶ νῦν...***Οἱ δύο χοροὶ ὁμοῦ*** , **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β',Στίχ.***

**Ἐ**πακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

***ὁ β' χορὸς,*** Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Στίχ.*** **Ἐ**ξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. ***ὁ α' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...

***Στίχ.,*** **Μ**νησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. ***ὁ β' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...

***ὁ α' χορὸς,*** Δόξα Πατρὶ... ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,...

***Ἀντίφωνον Γ',Στίχ.***

**Κ**ύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

***ὁ α' χορὸς*** , ***Ἦχος πλ. δ'***

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.

***Στίχ.*** **Τ**ὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. ***ὁ β' χορὸς,*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν...

***Στίχ.*** **Ὅ**τι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. ***ὁ α' χορὸς,*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν...
***Στίχ.*** **Ζ**ωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἱς αἰῶνα αἰῶνος. ***ὁ β' χορὸς,*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν...
***Εἰσοδικὸν, ὁ α' χορός***
**Ὑ**ψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου, Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι. Ἀλληλούϊα**.**
***ὁ α' χορός,Ἦχος πλ. δ,*** **'Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν,...
***Κοντάκιον ,ὁ β' χορὸς ,*****Ἦχος πλ. δ'**
**Ὅ**τε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἱς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.
***Ἀντὶ δὲ τοῦ ΤρισαγίουἮχος α':*** **Ὅ**σοι εἱς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε΄**Ἀ**λληλούϊα.
***Προκείμενον τοῦ Ἀποστόλου,Ἦχος πλ. δ'***
**Ε**ἱς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
***Στίχ.*** **Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.
Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα
**'Ε**ν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἦσαν ἅπαντες οἱ ἀπόστολοι ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι· καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός͵ καὶ ἐκάθισεν ἐφ΄ ἕνα ἕκαστον αὐτῶν͵ καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου͵ καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς. ̓Ησαν δὲ ἐν Ἰερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι͵ ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν· γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθεν τὸ πλῆθος καὶ συνεχύθη͵ ὅτι ἤκουον εἷς

ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. Ἐξίσταντο δὲ καὶ ἐθαύμαζον λέγοντες πρὸς ἀλλήλους, Οὐχ ἰδοὺ ἅπαντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν; Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες **Ῥ**ωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ.

***...Είς τὸ Ἐξαιρέτως Ὁ Εἱρμὸς τῆς θ΄ῳδῆς ἦχος βαρὺς***
**Μ**ὴ τῆς φθορᾶς διαπείρᾳ κυοφορήσασα, καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα, Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου πλαστουργοῦ σου, σὲ μεγαλύνομεν.
***...Κοινωνικὸν,ὁ β΄ χορὸς ἦχος βαρὺς:*** **Τ**ὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. **Ἀ**λληλούϊα. …
***...Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» ***λέγεται τό, ἦχος πλ. δ',*** Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν,...

**Δευτέρα του Αγίου Πνεύματος, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α΄, Ἦχος β',Στίχ.***
**Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.
***ὁ α΄ χορὸς,*** Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***Στίχ.*** **Ἡ**μέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. ***ὁ β΄ χορὸς*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Στίχ.*** **Ο**ὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ***ὁ α΄ χορὸς*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου.
***Στίχ.*** **Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ***ὁ β΄ χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρὶ... Καὶ νῦν...***Οἱ δύο χοροὶ ὁμοῦ*** , **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β',Στίχ.***

**Ἐ**πακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

***ὁ β' χορὸς,*** Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Στίχ.*** **Ἐ**ξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. ***ὁ α' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...

***Στίχ.,*** **Μ**νησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. ***ὁ β' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...

***ὁ α' χορὸς,*** Δόξα Πατρὶ... ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων.Ἀμήν. **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,...

***Ἀντίφωνον Γ',Στίχ.***

**Κ**ύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

***ὁ α' χορὸς , Ἦχος πλ. δ'***

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.

***Στίχ.*** **Τ**ὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. ***ὁ β' χορὸς,*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν...

***Στίχ.*** **Ὅ**τι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. ***ὁ α' χορὸς*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν...

***Στίχ.*** **Ζ**ωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν είς αἰῶνα αἰῶνος. ***ὁ β' χορὸς*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν...

***Εἰσοδικὸν, ὁ α' χορός,***

**Ὑ**ψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου, Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι. Ἀλληλούϊα**.**
***ὁ α' χορός,Ἦχος πλ. δ',*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν,...
***Κοντάκιον ,ὁ β' χορὸς ,*** **Ἦχος πλ. δ'**
**Ὅ**τε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, είς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.
***Ἀντὶ δὲ τοῦ ΤρισαγίουἮχος α':*** **Ὅ**σοι είς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε,΄**Ἀ**λληλούϊα.
***Ἀπόστολος: Τῆς ἡμέρας· Δευτέρας α΄ ἑβδομάδος Ἐπιστολῶν. Προκείμενον ἦχος πλ.δ'***
Σῶσον, Κύριε, τὸν λαὸν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
***Στίχ.*** Πρὸς σέ, Κύριε κεκράξομαι ὁ Θεὸς μου.
Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***(Ἐφεσ. ε΄ 8-19).***
Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε [ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ] δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ· καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε, τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστιν καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται, πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν. διὸ λέγει, Ἔγειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Βλέπετε οὖν ἀκριβῶς πῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι ἀλλ᾽ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί είσιν. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνίετε τί τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

***...Είς τὸ Ἐξαιρέτως, Ὁ Εἱρμὸς τῆς θ'ᾠδῆς ἦχος δ'***
Χαίροις Ἄνασσα, μητροπάρθενον κλέος.
Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,
Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως.
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον
Νοεῖν, ὅθεν σε συμφώνως δοξάζομεν.
***...Κοινωνικὸν, ἦχος α':*** Τὸ Πνεῦμά σου το ἅγιον μὴ ἀντανέλῃς ἀφ'ἡμῶν, δεόμεθα φιλάνθρωπε. Ἀλληλούϊα.

**ΕΟΡΤΟΛΟΓΙΟΝ – ΑΠΡΙΛΙΟΣ.** 4.Ὁ Ὅσιος Ζωσιμᾶς. 5.Ἡ Ὁσία Θεοδώρα ἡ ἐν Θεσσαλονίκῃ. 6.Ὁ Ἅγιος Εὐτύχιος πατριάρχης Κωνσταντινουπόλεως. 7.**Ὁ Ὅσιος Σάββας ὁ Νέος ὁ ἐν Καλύμνῳ (+ 1948)-Ε' Κυριακή των Νηστειων-. 8.**Οἱ Ἅγιοι Ἄγαβος, Ῥοῦφος...ἀπὸ τοὺς 70 Ἀποστόλους. 9.Οἱ Ἅγιοι Ῥαφαήλ, Νικόλαος, Εἰρήνη καὶ οἱ σὺν αὐτοῖς. 10.Ὁ Ἅγιος Γρηγόριος ὁ Ε΄ Πατριάρχης Κωνσταντινουπόλεως. 11.Ὁ Ἅγιος Ἀντίπας ἐπίσκοπος Περγάμου. 12.Ὁ Ὅσιος Βασίλειος ὁ Ὁμολογητὴς. 13.Ὁ Ἅγιος Μαρτῖνος Πάπας Ῥώμης. 14.Οἱ Ἅγιοι Ἀρίσταρχος...Ἀπόστολοι ἀπὸ τοὺς 70. 15.Ὁ Ἅγιος Κρήσκης. 16.Οἱ Ἁγίες Ἀγάπη, Εἰρήνη καὶ Χιονία, ο Όσιος Αμφιλόχιος ο εν Πάτμω (Μακρης). 17.Ὁ Ἅγιος Συμεὼν ἐπίσκοπος Περσίας…18.Ὁ Ὅσιος Ἀκάκιος. 19.Ὁ Ἅγιος Παφνούτιος ὁ Ἱεροσολυμίτης, Ἱερομάρτυρας. 20.Ὁ Ἅγιος Ζακχαῖος ὁ Ἀπόστολος. 21.Ἡ Ἁγία Ἀλεξάνδρα ἡ βασίλισσα…22.Ὁ Ὅσιος Θεόδωρος ὁ Συκεώτης…**23.Ὁ Ἅγιος Γεώργιος ὁ Μεγαλομάρτυρας καὶ Τροπαιοφόρος. 24.**Ἡ Ὁσία Ἐλισάβετ. 25.Ὁ Ἅγιος **Μᾶρκος** ὁ Ἀπόστολος καὶ Εὐαγγελιστής, Ἡ Ἁγία **Νίκη. 26.**Ὁ Ἅγιος Βασιλέας Ἱερομάρτυρας. 27.Ὁ Ἅγιος Συμεὼν ὁ Ἀδελφόθεος, ἐπίσκοπος Ἱεροσολύμων. 28.Οἱ Ἅγιοι Ἐννέα Μάρτυρες, ποὺ μαρτύρησαν στὴν Κύζικο. 29.Οἱ Ἅγιοι Ἰάσων καὶ Σωσίπατρος οἱ Ἀπόστολοι. 30.Ὁ Ἅγιος Ἰάκωβος ὁ Ἀπόστολος, ἀδελφὸς Ἰωάννου τοῦ Θεολόγου, Ἀνακομιδὴ Λειψάνων Ἁγίας **Ἀργυρῆς. ΕΟΡΤΟΛΟΓΙΟΝ – ΜΑΪΟΣ. 1.**Ὁ Προφήτης **Ἱερεμίας. 2.**Ἀνακομιδὴ Λειψάνων Ἁγίου **Ἀθανασίου. 3.**Οἱ Ἅγιοι Τιμόθεος καὶ Μαύρα. 4.Ἡ Ἁγία Πελαγία. 5.Ἡ Ἁγία **Εἰρήνη** ἡ Μεγαλομάρτυς, Ὁ Ὅσιος **Ἐφραίμ** ὁ Μεγαλομάρτυρας καὶ θαυματουργός. 6.Ὁ πολύαθλος Ἰώβ, η Οσία **Σοφία** η εν Κλεισούρα, . 7.Ἐμφάνισις τοῦ Τιμίου Σταυροῦ, Ὁ Ὅσιος Νεῖλος ὁ Νέος, ὁ Μυροβλύτης (Εὕρεση τιμίων λειψάνων του). 8.**Ὁ Ἅγιος Ἰωάννης ὁ Θεολόγος καὶ Εὐαγγελιστής,** Ὁ Ὅσιος Ἀρσένιος ὁ μεγάλος.